

Programm
des Gymnasiums zu Oels,

durch welches

zu der am 17. und 18. März 1864 stattfindenden

öffentlichen Prüfung

und zu dem

Redeactus der Abiturienten

ergebenst einladet

der Director Dr. Silber.




Inhalt:

1) Beiträge zu einer sechsten Auflage des Wörterbuchs der griechischen Sprache, begründet von Franz Passow, vom Königl. Collaborator Dr. Gasda.
2) Schulnachrichten, vom Director.



Oels,
Schnellpressendruck von A. Ludwig.

1864.



Beiträge
zu einer sechsten Auflage des Handwörterbuches der griechischen Sprache begründet von Franz Passow.

Die mit * bezeichneten Wörter fehlen in der fünften Auflage.

ἄβρωτος = νῆστις. οἶδα γάρ σε ὑφ' ἡδονῆς διημερεύοντα ἄβρωτον, ἄποτον. Charit. 6, 3, 9.

ἄγκυρα ἄγκυραν ἀναιρεῖν. ἀγκύρας ἀνῇρουν. Charit. 8, 2, 7.

ἀγλάισμα. ἀγλαΐσματα δέρρης. Aristaen. 1, 25.

ἄγλωσσος = elinguis, unberedt. Φειδίας ἅτε ἀνὴρ οὐκ ἄγλωττος οὐδὲ ἀγλώττου πόλεως. Dio Chrys. 12, 55.

* ἀγνόμαντις, ein wahrer Prophet. Galeomyomach. 191.

ἀγνώμων. ἐν ἀγνώμονι γνώμῃ κ̓ πονηρίᾳ. Dio Chrys. 32, 16.

ἄγειν καὶ φέρειν bildlich = θορυβεῖν. αἰχμάλωτος οὖν γενέσθαι καλῶς ἂν λέγοιτο κ̓ ἀνὴρ κ̓ πόλις, ἥτις ἂν...... αἱρεθεῖσα ὑπὸ μέθης ἢ ᾠδῆς γυναικῶν ἢ ἁρμάτων ἄγηται κ̓ φέρηται Dio Chrys. 32, 90. Neben ἡσυχίαν ἄγειν auch oft τὴν ἡ. ἄγειν z. B. Dio Chrys. 33, 8. 40, 39.

* Ἀδανεύς, Einwohner von Ἄδανα. Σολεῖς τούτους κ̓ Ἀδανεῖς κ̓ τινας ἴσως ἄλλους. Dio Chrys. 34, 14.

* ἀδεισίθεος, nicht gottesfürchtig. Julian epist. 62 in einem Orakel.

* ἀδικομαχεῖν, im Kampfe oder Processe betrügerisch verfahren. τοὺς ἐν Μιλιαίῳ τῶν ἀλλοτρίων ἕνεκεν ἀδικομαχοῦντας. Alciph. 3, 29.

ἀδοξεῖν bedeutet für unwürdig erachten bei Alciph. frag. 3: ὅτι τῆς σῆς τέχνης γέγονα, οὐκ ἀδοξοῦσί με Θεσπιεῖς μέσην κεῖσθαι θεῶν.

ἀδρός. Zeugniss für den Comparativ bei Alciph. 3, 36.

ἀδύνατον 2. τῶν ἀδυνάτων ἐκστάς, das unmögliche nicht erst versuchend. Liban. I, 312, 11.

* αἰδουμένως. μηδὲ αἰδουμένως τῆς Ἀφροδίτης παρακλέπτειν. Alciph. frag. 6, 18.

Αἰνείας. genetiv *Αἰνεία. τὸν Αἰνεία στόλον.* Dio Chrys. 11, 143.

αἱρέω. Beispiele für die Formel *ἔνθεν ἑλὼν* aus Späteren siehe bei Cobet var. lect. 320.

αἴσθησις. εἰς αἴσθησιν ἀφικνεῖσθαι Dio Chrys. 12, 28. *πρὸς αἴσθησιν ἀφ.* Idem 12, 65.

αἴσθομαι. Vergl. noch Cobet var. lect. pag. 128.

αἰτία. αἰτίαν διδόναι, wie *ὑπέχειν* und *ὑπομένειν. τὸ μηδεμίαν αἰτίαν διδόναι καθ' αὑτῶν.* Dio Chrys. 34, 25

Ἀκαδημαϊκός. Diese Form wird verworfen von W. Dindorf zu Lucian vol. I. praef. pag. XXII.

ἀκαιρία 3 im plur. ungünstige Umstände. *ἐν ταῖς τῆς βουλῆς ἀκαιρίαις* Liban. I, 321, 20.

ἀκοή. Wie *ἀκοῇ μανθάνειν, παραλαμβάνειν, ἱστορεῖν,* auch *ἀκοῇ γιγνώσκειν. μέχρις ἂν ἀνθρώποις συμβάλῃ μηδὲ ἀκοῇ γιγνώσκουσι θάλατταν.* Dio Chrys. 13, 10.

ἀκολουθέω ἅμα τινί. κινηθεὶς ποτε ἐκ τῆς βάσεως ἠκολούθησεν ἅμα τῇ μάστιγι. Dio Chrys. 31, 96.

ἀκολουθία, richtiges Benehmen. *οἱ μὲν οὖν ἄλλοι ἀπ' ἀρχῆς εἰς τέλος παραπλησίαν τινὰ καὶ τὴν αὐτὴν εἶχον τῆς ἑστιάσεως ἀκολουθίαν, οἱ φιλόσοφοι δὲ, προϊόντος τοῦ συμποσίου καὶ τῆς φιλοτησίας συνεχῶς περισοβουμένης, ἄλλος ἄλλην τερατείαν ἐπεδείξαντο.* Alciph. 3, 55, 6.

ἀκόντως den Attikern abgesprochen von Cobet. var. lect. pag. 153.

ἀκόρεστος, Vergl. Meineke zu Alciph. 3, 66: *λέγω δὲ τὸν ἀδόλεσχον καὶ λάλον:* „ineptam tautologiam tollit Ven. in quo *ἀκόρεστον* scriptum est, quod eodem h. l. sensu positum videtur, quo apud Sophoclem Oed. Col. 120 *ὁ πάντων ἀκορέστατος.*"

ἀκούσιος. γυμνωθείσης αὐτῆς κατὰ τὸ ἀκούσιον, als wenn es unfreiwillig geschähe. Luc. piscat. 12.

ἀκρίβεια. Wie *διὰ πάσης ἀκριβείας* steht auch *ταῖς πάσαις ἀκριβείαις. ἢ τὰ μὲν ἦν ταῦτα ταῖς π. ἀ., σπουδή τε τοῦ πλήθους καὶ κρίσις τῆς βουλῆς.* Pseudodio Chrys. 37, 9.

ἀκριβολογέομαι ἔν τινι. οὓς ἐν τοῖς ὅρκοις ἀκριβολογουμένους λαβὼν ἐκέλευσεν ... Liban. I, 393, 25.

ἀκρώρεια. ἀκρώρεια τῶν ὀρῶν verbindet Alciph. 3, 13, wozu Meineke bemerkt: „ne quis *τῶν ὀρῶν* deletum eat, v. Lobeckium paral. 537."

ἀλεαίνω. Med. sich sonnen, *ἐτύγχανε γὰρ ἀλεαινόμενος* (Diogenes) *πρὸς τὸν ἥλιον.* Dio Chrys. 4, 14.

* *ἀλέαντος,* ungeglättet, beim Scholiasten Aristot. de part. an. 678 b. 35, in: Scholien zu Aristoteles Werk de partibus animalium von Langkawel, Programm des Friedrich-Wilhelm-Gymnasiums in Berlin 1863.

* *ἀλητικός, ή, όν,* adj. von *ἀλήτης. ἴσως μὲν γὰρ οὐ μόνον πρεσβυτικὸν πολυλογία καὶ τὸ μηδένα διωθεῖσθαι ῥᾳδίως τῶν ἐμπιπτόντων λόγων, πρὸς δὲ τῷ πρεσβυτικῷ τυχὸν ἂν εἴη καὶ ἀλητικόν.* Dio Chrys. 7, 1.

* *Ἁλιάρτιος* adj. von *Ἁλίαρτος*. *Ἁλιαρτίου σχοινίου χρεία*. Alciphr. 3, 49.

ἄλλῃ. Das herodoteische *τῇ ἄλλῃ* ahmt nach Libanius z. B. I, 264, 14 und 305, 10.

ἀλλοτριόω. *ἀλλοτριοῦσθαι πρός τινα*. *μηδὲ τοὺς μὲν φθόνῳ, τοὺς δὲ πλεονεκτεῖν βουλομένους ἠλλοτριῶσθαι πρὸς ὑμᾶς*. Dio Chrys. 34, 14.

ἀλογέω. „*ἀλογεῖσθαι*, a. verachtet, vernachlässigt werden, Alciphr." ist vielmehr zu c. zu stellen, in der Bedeutung „von Sinnen sein". Vergl. Bergler zu Alciph. 2. 1.

ἅμα. Ueber *ἅμα* mit dem genet. bei den Byzantinern vergl. Bernhardy paralip. synt. Graecae 1862.

ἀμάντευτος. Zu 2 „nicht weissagend" vergl.: *ἐλύπει τὴν Καλλιρρόην ὁ ἔπαινος καὶ τοῦ μέλλοντος οὐκ ἀμάντευτος ἦν*. Charit. 2, 2, 3.

ἀμειδίατος ist mit Emperius zu lesen für das falsche *ἀμειδίαστος* nach cod. M. bei Dio Chrys. 4, 92.

ἄμμος. *τὴν ἄμμον ἀριθμεῖν* sprichwörtlich, etwas unmögliches unternehmen, Liban. I., 433, 15.

ἀμνημονεύω scheint überall zu tilgen und dafür *ἀμνημονέω* zu schreiben, wie jetzt bei Luc. de conscr. hist. 18 steht. Vergl. Lobeck. Phryn. pag. 566.

ἀμφιλαφῶς. Vergl. *ἡ δυοῖν θαλάσσαιν ἐν μέσῳ κειμένη πόλις, χαρίεσσα μὲν ἰδεῖν καὶ ἀμφιλαφῶς ἔχουσα τρυφημάτων*, „urbs .... elegans et deliciis abundans". Alciph. 3, 60, 3.

ἀμφορίσκος. Zeugniss auch bei Liban. I, 182, 11: *τὸν ἀμφορίσκον λαβών*.

ἀναβάλλω. *ἀναβεβλημένον μέλος*. Vergl. noch *οὐ μαλακὸν αὔλημα οὐδὲ ἀναβεβλημένον*. Dio Chrys. 1, 1.

ἀναζωγραφέω in figürlicher Bedeutung: *ταῦτ' ἀναζωγραφῶν καὶ ἀναπλάττων ἐξεκάετο σφόδρα*. Charit. 6, 4, 6.

ἀνακινεῖν. Wie *ἀ. χεῖρας*, auch *ἀ. τὴν φωνήν*. *ἐγὼ τὴν φωνὴν ἀνακινῶν τε καὶ ἀποπειρώμενος* Lib. I, 51, 10.

ἀνακτίζω. *τὴν πατρίδα αὐτῷ συνεχωρήσαμεν ἀνακτίζειν*. Dio Chrys. 2, 79.

ἀνακωκύω. *ἰδοῦσα δὲ ἡ μήτηρ τὰ ἐντάφια τῆς θυγατρὸς ἀνεκώκυσεν*. Charit. 3, 4, 2.

ἀναμιμνήσκω. *ἀν. ἑαυτόν*. *ἀνάμνησον γὰρ σαυτὸν, ὦ βασιλεῦ*. Liban. I, 434, 8.

ἄνανδρος. Zeugniss für den Superlativ bei Dio Chrys. 9, 16.

ἀνάντης. *τὸ ἄναντες* substantiv. *ἀναβαίνων δὴ τὸ μετὰ τὸν πρῶτον τῶν σταθμῶν ἄναντες*. Liban. I, 66, 4.

ἀναξυρίς im Singul. *ἡ μὲν γὰρ Οὐολογέσου ἀναξυρίς*. Luc. de conscr. hist. 19.

ἀναστρέφειν = *ἀναστρέφεσθαι* 3a., sich aufhalten, verkehren. *οὐ μάλιστα ταῖς ἀρτοπώλισι καὶ ὀπωροκαπήλοις ἔθος ἀναστρέφειν*. Alciph. 3, 60.

ἀνατίθημι. *ἀνατ. ἑαυτόν* sich einer Sache widmen. *οὐκ ἀσφαλὲς εἶναι λέγοντες ἀναθεῖναι αὐτοὺς πολιτείᾳ*. Dio Chrys. 34, 34. Vergl. auch 50, 50.

ἀνατροπή. ἀ. στομάχου Philo pag. 722 F. Clem. Alex. paedag. 2, 1, 163.

ἀναφέρειν, sich auf etwas besinnen. τὴν μὲν οὖν ὄψιν τἀνδρὸς οὐκ ἀνέφερεν ἡ Χαρίκλεια, νέα κομιδῇ καὶ ἑπταέτις χωρισθεῖσα. Heliod. aethiop. 10, 11.

ἀνδριαντάριον steht auch Schol. Dio Chrys. 31, 153.

ἀνείκαστος, nicht zu errathen. τῷ φανερῷ τε καὶ εἰκαστῷ τὸ ἀνείκαστον καὶ ἀφανὲς ἐνδείκνυσθαι ζητοῦντες. Dio Chrys. 12, 59.

* *ἀνέκτιτος* oder ἀνέκτιστος, unvergolten. τίνων εὐεργεσιῶν χρέος ὀφειλόμενον κελεύουσι μὴ ἀνέκτιτον ἐᾶν. Dio Chrys. 12, 43.

ἀνευφημέω bedeutet „preisen" bei Späteren. ὁ δὲ πολὺς τῶν περιεστώτων ὅμιλος ἀνευφήμησαν τὸν θεὸν τῆς ἐπ' ἐμοὶ παρὰ τὴν πρώτην ἔντευξιν προφητείας Heliod. aeth. 2, 27. πάντες ὡς τοὺς μετὰ Ὀθρυάδου τριακοσίους ἢ τοὺς μετὰ Λεωνίδου, οὕτως καὶ τοὺς μετὰ Χαιρέου ἀνευφημήσουσιν. Charit. 7, 3, 11.

ἀνήρ. Sprichwort εἷς ἀνὴρ οὐδεὶς ἀνήρ bei Dio Chrys. 48, 10.

ἀνήριθμος ohne Variante auch bei Dio Chrys. 32, 87.

ἄνθραξ 2) carbunculus, auch bei Athen. 12 pag. 539 d.

* *ἀντανατρέπω*, dagegen umwenden, oder verändern. μόνῃ Μυρίλλῃ τῇ θυγατρὶ τῆς Στάλης ἡ χαρμονὴ πρὸς πένθος ἀντανετράπη. Theod. Prod. 8, 417.

* *ἀντεναστρέφω*, dagegen umkehren. τοσαῦτα φήσας αὖθις ἀντανεστράφη Theod. Prod. 7, 468.

ἀντεισάγειν. πνεῦμα πολέμιον ἐπελθὸν ἐκβάλλει μὲν τὴν ἡδονὴν, ἀντεισάγει δὲ τραῦμα. Liban. I, 126, 3.

ἀντιμνηστεύω. Das med. als deponens. τὴν τῶν ἀντιμνηστευομένων ἐπιβουλήν. Charit. 8, 7, 6.

ἀντιποιεῖν. Wie ἀ. τινί τινος, auch πρός τινά τινος. ἀλλὰ θαλάττης μὲν οὐδ' ἀντιποιοῦνται πρὸς ὑμᾶς οἱ Νικαεῖς. Dio Chrys. 38, 22.

ἀντίπυργος ὁ, substant. ἀντίπυργοι ξύλινοι κ' ῥῶπες εἰς σκέπην. Liban. I, 358, 10.

ἀνύβριστος. Superlat. bei Dio Chrys. 3, 98.

ἀνύσιμος. Superlat. bei Dio Chrys. 39, 8.

ἀξιόμαχος. ἀντιπαρασκευὴ ἀξιόμαχος. Liban. I, 331, 1.

* *ἀξιοπιστεύομαι*, fidem mihi arrogo. S. Lobeck Phryn. pag. 567.

ἀπαιθριάζω. ἀπαιθριάζει imperson. es wird wieder hell. ὥστε, ὁπότε ἀπαιθριάσειεν, ὥσπερ ἐκ μακροῦ πλοῦ σεσωσμένοι, περιβάλλοντες ἀλλήλους ἀσπάζονται. Liban. I, 343, 16.

ἀπαρτάω. ἐκ τῶν ὤτων ἀπηρτημένος, figürl. mit gespitzten Ohren. Luc. Icarom. 3 und 4.

ἅπας. ἐξ ἅπαντος, praecipue, imprimis. Luc. pisc. 41 de merc. cond. 8. gall. 13. εἰς ἅπαν, auf immer. Liban. I, 36, 10.

ἀπεικασία bedeutet 2) Aehnlichkeit. ὑπέχω λόγον.... περὶ τοῦ πάντων κρά-

τοῦντος θεοῦ καὶ τῆς πρὸς ἐκεῖνον ὁμοιότητος, εἴτε εὐσχημόνως καὶ προσεοικότως γέγονεν, οὐδὲν ἐλλείπουσα τῆς δυνατῆς πρὸς τὸ δαιμόνιον ἀνθρώποις ἀπεικασίας, etc. Dio Chrys. 12, 55.

ἀπεικονίζω. Med. in act. Bed. καθάπερ αἴγλη τις ἡλίου πάλλεται συχνὰ περὶ τοῖχον ἐξ ὕδατος ἀνταυγοῦσα κατὰ σκαφίδος ἢ λέβητος κεχυμένου, καὶ ἀστάτῳ φορᾷ τὴν εὐκίνητον συστροφὴν ἀπεικονίζεται τῶν ὑδάτων. Aristaen. ep. 2, 5 pag. 142 Boiss.

ἀπείρηκα. ὀροφὴ ἀπειρηκυῖα, baufälliges Dach. ἰδοῦσα δὲ τὴν ὀροφὴν ὑπὸ γήρως ἀπειρηκυῖαν. Lib. I, 291, 9.

ἀπελέγχω, be- oder erweisen. καὶ δι' ὧν ἑώρακεν ἱματίων ἀπήλεγχε τὴν μοιχείαν. Aristaen. ep. 1, 5.

ἀπελπίζειν ἑαυτόν. ἀπελπίζομεν ἑαυτούς. Dio Chrys. 38, 19.

ἀπεναντίας mit dem dat. ὁ μὲν ἐπειρᾶτο πλεῖν καὶ πεζεύειν ἀπεναντίας τῇ φύσει. Jul. or. I, pag. 28 B.

ἀπήνεμος scheint zu streichen, weil sonst ganz unerhört, und dafür das häufige ὑπήνεμος zu schreiben.

ἄπλυτος. Sprichwort ἀπλύτοις ποσί. οὐδὲν δὲ προειπόντες οὐδὲ διαστειλάμενοι περὶ τοῦ πράγματος οὐδὲ ἀπό τινος ἀρχῆς ἀρχόμενοι τῶν λόγων, ἀλλ' αὐτόγε, ὥς φασιν, ἀπλύτοις ποσὶ διεξίασι τὰ φανερώτατα καὶ γυμνότατα. Dio Chrys. 12, 26.

ἀπογιγνώσκω heisst auch leugnen. ἀλλ' ἕτεροί γε μυρίοι τοῦτο πεπόνθασιν· ἐπεὶ καὶ τῶν νῦν ἐνθάδε δουλευόντων οὐκ ἀπογιγνώσκω πολλοὺς εἶναι ἐλευθέρους. Dio Chrys. 15, 16.

ἀπόδειξις. εἰς τὴν αὐτὴν ἀπόδειξιν φέρειν, ebendasselbe beweisen. καὶ γὰρ τὸ τούτου ἐχόμενον εἰς τὴν αὐτὴν ἀπόδειξιν φέρει. Liban. I, 308, 2.

ἀποδρύπτω liest Meineke nicht mehr bei Alciph. 3, 51, sondern ἀποδρέπομαι.

ἄποθεν und ἄπωθεν. Eine ganz abweichende Meinung über diese Formen hat Meineke zu Alciph. 3, 5.

ἀποκλείω. τῷ ἑπομένῳ τὴν ἅμιλλαν ἀποκλεῖσαι, dem folgenden die Mitbewerbung unmöglich machen. Liban. I, 316, 15.

ἀποκρύπτω, auch verdunkeln, ausstechen, übertreffen. ὁρῶν δὴ κέρδος τε ἅπαν ὑπ' ἐμοῦ καταπεπατημένον ζητοῦντά τε οὐδὲν ἕτερον, ἢ ὅπως ἐκεῖνος ἀποκρύψαι τὰ ὑμνούμενα, „ut Julianus praeclaris factis laudes omnes superaret" erklärt Reiske Liban. I, 84, 5.

ἀπολαμπρύνω, ich mache berühmt. ἂν παραστῇ σοι τὸν ἄνθρωπον ἀπολαμπρῦναι τιμῇ τινι. Liban. I, 432, 1.

ἀπομιμνήσκομαι bedeutet 2) erwähnen, aus dem Gedächtnisse wiedergeben. πλὴν τοῦτο μὲν (τὸν ἄγροικόν τινα ῥυθμὸν καὶ μέλος) ἴσως οὐδὲν ἡμᾶς δεῖ μιμεῖσθαι, τὴν δὲ διάνοιαν αὐτὴν ἀπομνησθῆναι πειρασόμεθα. Dio Chrys. 30, 25.

ἀπόμνυμι med. Auch der infin. mit *μή* allein folgt darauf. *ἡ δ' εὐθὺς ἀπώμνυτο μὴ ἑωρακέναι Διονύσιον μετὰ τὴν δίκην.* Charit. 8, 1, 16.

ἀπονίνημι. aor. 2 med. bei Späteren *ἀπωνάμην. οὐδὲν ἀπώνατο τῆς πολλῆς ἐξουσίας καὶ δυνάμεως.* Dio Chrys. 1, 46.

ἀπονοέομαι mit dem infin. sich etwas tolles einkommen lassen. *πολλοὶ τολμήσαντες ἤδη τῶν σοφιστῶν παραδόξους εἰπεῖν λόγους μόνον τοῦτον οὐκ ἀπενοήθησαν ἐξενεγκεῖν, ὡς* etc. Dio Chrys. 38, 10.

ἀπόπληκτος. Zeugniss für den Comparativ bei Dio Chrys. 11, 54.

ἀποπτύω. ἔκρινα οὖν πολυτελοῦς τραπέζης ἀπολαύσας ἀποπτύσαι τὸ ζῆν. Alciph. 3, 6.

ἀποστρέφειν 3) *εἰ δὲ ἐκείνη (ἡ λύμη) χωρεῖ, τί μοι τὴν γλῶσσαν ἀποστρέφεις;* warum verwehrst Du mir die Rede? Liban. I, 192, 14. 5) pass. verabscheuen, mit dem genet. *ἡ τραχύτης αὕτη καὶ τὸ μικροῦ δεῖν ἅπαντας ἀλλήλων ἀπεστράφθαι διαπεφοίτηκε τῆς πόλεως.* Dio Chrys. 34, 20.

ἀποτείνω. Für das med. etwas mit Anstrengung thun, auch *ἀ. ἑαυτόν. ὥσπερ οἱ γέρανοι, ὅποι ἂν ὁρμήσωσιν, ἀποτείνασαι ἑαυτὰς πέτονται.* Dio Chrys. 4, 52.

ἀποτρόπαιος. Es fehlt die Formel *ἀποτρόπαιον* mit einem relativ. *ὡς, οἷος, ὅσος.* Vergl. Sommerbrodt zu Luc. pisc. 33.

ἄπυστος mit dem genet. *οὐδὲν γὰρ ἔθνος ἄπυστον ἦν τῆς Ἀθηναίων δυστυχίας.* Charit. 7, 2, 4.

ἀπώμοτος. οὐδὲν απώμοτον οὐδὲ ἄπρακτον ποιούμενος. Dio Chrys. 4, 102.

* *ἀπωσίκακος = ἀλεξίκακος.* Schol. Pers. satyr. 5, 167 ed. Jahn.

* *ἀραιῶς,* raro. *γράφειν μὲν οὖν οὐ συμβουλεύω σοι αὐτῷ, ἀλλ' ἢ σφόδρα ἀραιῶς* Dio Chrys. 18, 18.

ἀρήγω auch bei späteren Prosaisten. *τοῖς δὲ ἀσθενέσιν ἀρήγοντα.* Dio Chrys. 2, 77.

Ἀρήϊος auch bei späteren Prosaisten. *ἀνὴρ ὁπλομάχος καὶ ἀρήϊος.* Alciph. 3, 58, 3 und *ἀρηΐου πνεύματος ὑποπιμπλάμενοι.* Joseph. b. Jud. 3, 5, 4.

ἀριθμός. Mit *ἀριθμὸς χρόνου* vergleiche noch *ἠξίουν γραῦν τινα δίκην δικάσαι πολλῶν ἐτῶν ἀριθμὸν ἀνηλωκυῖαν.* Liban. I, 224, 2.

Ἀρκάς als adject. *Ἀρκάδι πίλῳ* Philostr. v. soph. 2, 5.

ἄρκειος für *ἄρκτειος. τὰ γὰρ ἄρκεια, ἔφην, σκληρά ἐστι.* Dio Chrys. 7, 43 ohne Variante.

ἁρμόζω 1) *πρὸς αὐτόν. καί τοι τὸ μὲν ὑπόδημα δεῖ πρὸς αὐτὸν ἁρμόζειν καὶ τὸν αὐτοῦ πόδα.* Dio Chrys. 40, 11. *ἁρμόζω* 4) *ἀνὴρ τὸν τρόπον ἱκανῶς ἡρμοσμένος.* Dio Chrys. 27, 4.

ἄρνυσθαι μισθόν nachgeahmt von Späteren. *ἀνθ' ὧν ἠξίου παρὰ τῆς πόλεως μισθὸν ἄρνυσθαι* Pseudodio Chrys. 37, 7 und *ὄφελος ἄρ.* Synes. Dio 26 R. 47 P.

* *ἀρτίσωμος*, der soeben seinen Leib wieder bekommen hat, oder wieder genesen ist. καὶ φυγὰς ἀρτίσωμος ᾤχετο δρόμῳ. Theod. Prod. 8, 479.

ἀρτοπόπος steht auch Liban I, 219, 8.

* *ἀρχιτεκταίνω*, Baumeister sein. S. Lob. Phryn. 567.

ἄρχειν. Der Unterschied zwischen dem activ. und dem med. wird, wenigstens bei den Späteren, nicht immer beachtet. Vergl. πρώτη μὲν ἤρξατο Καλιρρόη διηγεῖσθαι, von den beiden Kalirrhoe und Chaereas, Charit. 8, 1, 14.

ἀσέβημα. Für die Synonymik vergl. τὰ μὲν περὶ τοὺς θεοὺς γιγνόμενα μὴ δεόντως ἀσεβήματα καλεῖται, τὰ δὲ πρὸς ἀλλήλους τοῖς ἀνθρώποις ἀδικήματα. Dio Chrys. 31, 13.

ἄσις. Auch die Bedeutung „Schmutz" vindicirt diesem Worte Cobet var. lect. 215. Und diese Bedeutung passt allein bei Chariton 2, 2, 2: ἐκ μακρᾶς οὖν θαλάσσης ἀπόλουσαι τὴν ἄσιν.

ἀσπαλιεύω. κἂν αὖθις τὸ ἄγκιστρον καταπίῃ, πάλιν ἀσπαλιεύσω. Aristaen. I, 17 pag. 85 Boiss.

* *Ἀσπασιάκαι*, Name einer Völkerschaft. Polyb. 10, 48.

Ἀστακία steht für Ἄστακος ἡ Liban. I, 23, 13 und 375, 12.

ἀσυκοφάντητος activ. ἔπαινοι..... ἀσυκοφάντητοι, aufrichtige Lobsprüche. Luc. de conscr. h. 59.

ἀσφαλής. Wie ἐν ἀσφαλεῖ steht ἐπ' ἀσφαλοῦς Liban. I, 420, 10.

ἀσχολία. Das Citat Xen. de rep. Lac. 13, 1 ist falsch. ἀσχολίαν ἀσχολεῖσθαι. ἀσχολεῖσθαι δὲ ἀσχολίας ἀνωφελεῖς. Dio Chrys. 47, 23.

ἀτμός im plur. Liban. I, 394, 5.

ἄτριπτος. οἱ τοὺς πόδας ἔχοντες ἁπαλοὺς καὶ παντελῶς ἀτρίπτους. Dio Chrys. 16, 7.

αὐγή. ὑπ' αὐγὰς ἤγαγον τὴν μισθαρνίαν, sie zogen die Bestechlichkeit ans Licht. Liban. I, 163, 2.

αὖθις. οἱ αὖθις, die Nachkommen. ὅπως.... τοῖς αὖθις καταλίπωσι δόξαν τινὰ ἐπιεικῆ καὶ μνήμην ἑαυτῶν. Dio Chrys. 31, 16.

αὔξη. τὸ κακὸν αὐξόμενον τὴν αὔξην τὴν ἑαυτοῦ. Liban. I, 10, 9.

αὐτόσκωμμα, Alciph. 3, 43 soll evidente Verbesserung sein; man höre aber Meineke zu d. St.: nomen quale est αὐτόσκωμμα quomodo hic explicem non habeo, nec habuit opinor Lobeckius Paral. pag. 242 qui αὐτὸ delevit, mihi lenius visum est scribere αὐτοῖς i. e. ἀλλήλοις, invicem nobis accinentes.

ἀφαρμάκευτος. τρίχες..... ξανθίζουσαι ἀφαρμάκευτα ist die Lesart Alciphr. fr. 5, 4.

* *ἀφελληνίζω*, hellenisiren. Ῥωμαῖος ὢν ἀφηλληνίσθη. Pseudodio Chrys. 37, 26.

ἀφομοιόω. Das Citat aus Plato steht rep. 8, 564 B.

ἀωρὶ νύκτωρ, wie *αωρὶ νυκτῶν*, Aristaen. 2, 19 und *νύκτωρ ἀωρί* Phalar. ep. 88 pag. 278 Schaf.

ἀφιδρύω 3) *κατέλαβον μὲν γὰρ τὸν λόφον ἐκεῖνον, οὗ τὸ τοῦ Διὸς ἀφίδρυται βρέτας.* Jul. or. I., 29 D.

βαδίζειν, reiten. *ἀνὴρ Φρὺξ ἐπὶ κτήνους ἐβάδιζεν.* Dio Chrys. 34, 5.

βαθμός, Geschlecht, Menschenalter, *τὸ γὰρ ἀπωτέρω δυοῖν βαθμοῖν ζητεῖν τὸ γένος οὐδαμῶς ἐπιεικές*, man soll seine Familie nicht weiter, als zwei Geschlechter zurück verfolgen. Dio Chrys. 41, 6.

βασανιστής, Folterknecht. *βασανιστὰς οὖν ἐκάλουν καὶ μάστιγες προσεφέροντο.* Charit. 3, 4, 12.

* *Βάτναι*, Name einer Stadt. *αἶγε μὴν Βάτναι (βαρβαρικὸν ὄνομα τοῦτο) χωρίον ἐστὶν Ἑλληνικόν.* Julian. ep. 27.

βαφή. θαλάττιος β., Purpurfarbe. *πρόσταξις ἧκεν ἀδελφὴ τῆς προτέρας, προστιθεῖσα θαλαττίῳ χλαμύδος βαφῇ λιθοκόλλητον ταινίαν*, „mandatum veniebat alterum simile priori, addens purpurae diadema.“ Liban I, 386, 11.

βδάλλω. βδάλας τὰ αἰγίδια ohne Variante Alciph. 3, 16.

βιβλίον. τὰ βιβλία, die Bibliothek. *τὴν εἰκὼ τοῦ σώματος ἐποιήσασθε καὶ ταύτην φέροντες ἀνεθήκατε εἰς τὰ βιβλία.* Pseudodio Chrys. 37, 8.

* *βλάττη* und * *βλάττιον.* „quo nomine sequioris aetatis Graecos purpuram significasse constat. v. Salmasium ad Histor. Aug. vol. II. p. 551 et Adolphum Schmidtium de Papyris Graec. p. 130. Novitia quidem haec vox est et Byzantinis scriptoribus maxime usitata.“ Meineke zu Alciph. 1, 2, 4.

βουκόλημα 2) Täuschung. *ἐγὼ δὲ μόνη καὶ ἔρημος, αἰχμάλωτος καὶ πολύθρηνος, τύχης βουκολήμασι πικρᾶς ἐκκειμένη.* Heliod. aeth. 5, 2.

* *Βουκοπνίκτης*, komischer Name bei Alciph. 3, 50, „vino suffocatus“ erklärt von Meineke.

βράσσω. Mit Luc. eun. 12 vergleiche noch *δήμου πρόσωπον πρᾷον καὶ καθεστηκὸς καὶ μήτε γέλωτι σφοδρῷ καὶ ἀκολάστῳ βρασσόμενον* etc. Dio Chrys. 32, 29

βωμολόχος. Wie *βωμολόχα ἔπη* auch *φωναὶ βωμολόχοι. πόλιν γὰρ ἐπιθαλαττίδιον ναυτικῆς ἀπειροκαλίας ἀνάγκη γέμειν, θορύβων τε ἀνελευθέρων καὶ φωνῶν βωμολόχων.* Liban. I, 286, 6.

* *γαμοστολία*, subst. zu *γαμοστολέω.* Amaranth. pag. 458 ed. Gaulm.

γελᾶν τινος, einen verlachen, steht auch Luc. enc. Dem. 16.

* *Γελώνιος* oder besser *Γελώνειος*, adj. zu *Γέλων. τὸν Γελώνιον (—ειον) πλακοῦντα εὑρήσεις.* auct. inc. in Anecd. Oxon. III. pag. 168.

γέφυρα bedeutet aquae ductus. *ἔστι δὲ οὐ καὶ μετέωρον τὸν πόρον ὑπὲρ γεφυρῶν ἄγοντες ἔνθα τοῦτο ἐπηνάγκαζον οἱ κρημνοί, κοινοῦσι τῷ ἄστει τὴν ἐκ τῶν προαστείων χορηγίαν.* Liban. I, 353, 20.

γεωργός. τοῦ γεωργοῦ δὲ χρησιμώτερος Νείλου. Liban. I, 418, 2.

γήθυον. *σκάνδικας ἐσθίειν καὶ γῆθυα.* Alciph. 3, 49.

γῆρας synon. für *οἱ γέροντες.* *φθέγγεται δὲ ἡ νεότης καὶ τὸ γῆρας οὐκ ἄχθεται.* Liban. I, 320, 5.

γλῶσσα. *ἀπὸ γλώττης* nur mit der Zunge, ohne Aufrichtigkeit. *οὐδὲ πρεσβείαν ἐπρέσβευον συμμαχικὴν ἤ τινα εὔφημον τῶν ἀπὸ γλώττης μόνον συνευχομένων.* Dio Chrys. 12, 17,

* *γλωττοδέσμη*, Zungenfessel. *ἡ παρθένος δὲ συνδεθεῖσα τὸ στόμα καὶ γλωττοδέσμην ὡσπερεὶ δεδεμένη ἔστεργε μακρὰν δυστυχῶς ἀφωνίαν.* Theod. Prod. 3, 493.

γόνιμος. Zeugniss für den Comparat. Luc. rhet. d. 25.

γύργαθος, ὁ. *γύργαθον φυσᾶν*, sprichwörtlich, etwas vergebliches thun. Aristaen. ep. 2, 20. vergl. Boiss. z. d. St. 723.

δακρύειν = δακρυρροεῖν. trans. *αἴγειροι ἀδελφαὶ θρηνοῦσαι καὶ ἤλεκτρον δακρύουσαι.* Luc. saltat. 55.

δάκτυλος. *τοὺς δακτύλους* oder *δάκτυλον αἴρειν* s. v. a. sich für besiegt erkennen, die Sache aufgeben, wie digitum tollere. Dio Chrys. 47, 10. Anecd. Beck. p. 357, 10.

Δαρεικός als adj. *χρυσοῦ κόμματα Δαρεικοῦ* Alciph. 1, 5. *χιλία τάλαντα χρυσοῦ χαρακτῆρα Δαρεικὸν ἔχοντα.* Diod. Sic. 17, 66.

δεῖγμα. Wie *δ. προφέρειν* und *παρέχειν*, auch *δ. ἐκφέρειν.* *δεῖγμα τρόπου βελτίονος ἐκφέρων.* Lib. I, 139, 8 und *δ. λαμβάνειν*, eine Probe machen. *πρότερον γευσάμενοι τοῦ οἴνου, κἂν ἄλλο τι φορτίον ἄγῃ, δεῖγμα λαβόντες, ἐὰν μὲν ἀρέσῃ ὑμᾶς, ὠνεῖσθε, εἰ δὲ μή, ἐᾶτε* Dio Chrys. 36, 11.

δείκνυμι, hervorspriessen lassen. *ὑφ' οὗ δὴ καὶ πολιὰς ἐξαίφνης ἔδειξα.* Liban. I, 81, 2.

δεύτερος 3) Wie *εἷς καὶ δ.* steht auch *εἷς ἢ δ.* *στέφανον τὸν μίαν ἴσως ἢ δευτέραν μενοῦντα ἡμέραν.* Dio Chrys 31, 81. *ἓν εἴποι τι μόνον ἢ δεύτερον.* Id. 33, 7. Vergl. auch 32, 11: *ἓν ἢ δύο.*

διαβάλλω 3) durchstecken. *ὥσπερ γὰρ αἵδε (αἱ ἁλύσεις) εἰσὶν ἐκ κρίκων τινῶν κεχαλκευμέναι δι' ἀλλήλων διαβεβλημένων.* Dio Chrys. 30, 20.

* *διαβίβασις = διαβιβασμός* Schol. zu Aristot. de part. an. 647 b. 2. Vergl. * *ἀλέαντος.*

διαδοχή 2. *ἵππων δὲ καὶ ὀρέων διαδοχὰς ὑπὲρ μεγίστων δὴ τὸ πρῶτον συστάσας τριβομένας ἔπαυσας ὑπὸ τῶν ἐλαυνόντων*, die übermässige Benutzung der Staatsposten hast Du gehindert. Liban. I, 419, 4.

* *διακαπηλεύω*, verstärktes *καπηλεύω.* *οὐκ ὀλίγων καπήλων διακαπηλευόντων ὅτι τύχοιεν ἕκαστος.* Dio Chrys. 8, 9.

διανεύω, durch Winken, Nicken zu erkennen geben. *κωφοὶ διανεύουσιν ἀλλήλοις τῆς Λαΐδος τὸ κάλλος.* Aristaen. I, 1 pag. 9.

διανοέομαι hat das fut. aus dem pass. bei Dio Chrys. 4, 43.

* *διατύφω*, verstärktes *τύφω*. *ἔρχομαι μὲν, οὐχ ὁμοίᾳ δὲ καὶ πρότερον τῇ ψυχῇ· ἀλλὰ τότε μὲν ἱλαρᾷ τε καὶ εὐθυμουμένῃ, ὕστερον δὲ ἄχους τε πλέᾳ καὶ διατετυμμένῃ.* Liban. I, 68, 1. Reiske erklärt das Wort: lento et fumigante igni exurere.

δίαυλος 2. Die Stelle aus Aristaen. I, 27 scheint besser zu 1 zu ziehen. cf. Baisson pag. 593: „Ipse se reprehendit Bastius (epist. crit. pag. 266) notans *δίαυλον* esse cursum ipsum, ipsam eundi ac redeundi actionem, alligansque Wolf. ad Liban. ep. 277; recte."

διαφέρειν 3. Wie *οὐ διαφέρει*, auch persönlich *διαφέρεσθαι* mit dem infin. oder partic. *καὶ μὴν ἤδη τινὸς ἤκουσα Ῥοδίου λέγοντος·........ ἔτι δὲ μηδένα τῶν Ῥωμαίων διαφέρεσθαι παρὰ τοῖσδε ἑστάναι, τῆς δέ γε ἐνθάδε τιμῆς οὐκ ἀμελεῖν. αὐτοὶ δὲ παντελῶς ἔξω τῆς ἁρμονίας τῆς κατὰ φύσιν γιγνόμενοι καὶ σφόδρα ἀμούσως ἔχοντες οὐδὲν διαφέρεσθε.* Dio Chrys. 31, 106 und 32, 46.

διαφθείρειν τὸ νόμισμα, Falschmünzerei treiben. Dio Chrys. 3, 18.

διαχέω c) zerstreuen, erheitern, z. B. *διαχεῖ τὴν καρδίαν τὸ σύνειδος.* Alciph. 1, 10. *τοῦτο μὲν εὐφραίνετο θέρους προσιόντος, ὁπότε ἤδη διαχέοι τὸν ἀέρα, τοῦτο δὲ οὐκ ἤχθετο παυομένου.* Dio Chrys. 6, 9.

Δίδυμα. Für *τὸ Διδυμαῖον τὸ Μιλησίων Διδυμεῖον.* Dio Chrys. 40, 8 Emp. *Διδύμειον* schreibt Dindorf.

δίδωμι, zur Frau geben, auch mit *πρὸς ἄνδρα. ἐκείνη πάλαι πρὸς ἄνδρα ἐδόθη.* Dio Chrys. 7, 68.

δίκαιος 1 b. am Ende. Das Gegentheil von *μετὰ τοῦ δικαίου* ist *οὐδενὶ δικαίῳ.* Liban. I, 129, 7.

δίκη. Für *σὺν δίκῃ* auch *σὺν τῇ δίκῃ.* Dio Chrys. 38, 20. Zu *ἐν δίκῃ* vergl. noch *τοῦ πατρῴου κλήρου συμφορᾷ περιπεπτωκότος ἐν δίκῃ καὶ παρὰ δίκην.* Jul. orat. I, 43 A.

Διονυσιοκόλακες. Die zweite Stelle im Athenaeus steht 9 pag. 435 E. — Als drittes Zeugniss für *Διονυσιοκόλακες* füge hinzu Alciph. 3, 48, 5.

δίχα. Wie *δίχα ποιεῖν*, trennen, auch *δίχα τιθέναι. οὐ δίχα θεὶς τό τε ἑαυτοῦ καὶ τὸ τῶν ἀρχομένων συμφέρον.* Dio Chrys. 3, 39.

διώκω 1 b. sectari, auch bei Sachen. *ἡ δὲ (Ἄρτεμις) ἐκ γάμου γενομένη ὅμως τὴν παρθενίαν ἐδίωξε.* Liban. I, 227, 16.

διωλύγιος. καὶ μέγα καὶ διωλύγιον ἀνεβόησεν steht auch Charit. 3, 3. 15.

δνόφος. νῦν δὲ ὥσπερ οἱ τοῖς ἀπογείοις, μᾶλλον δὲ τοῖς ἀπὸ τῶν γνόφων πνεύμασι πλέοντες, οὕτως φέρεσθε. Dio Chrys. 34, 37. Es scheinen die Nordwinde gemeint.

* *δοθίνη* = *δοθιήν.* Schol. Aristot. de part. an. 667 b. 5. Vergl. * *ἀλέαντος.*

* *δορίαλλος* = *αἰδοῖον.* S. Meineke zu Alciph. 1, 39, 6.

δρασμός, Beweglichkeit, Gangbarkeit. *ἀλλ' ἀφ' οὗ Δαίδαλος ἐτελεύτησεν, οὐδεὶς εἰς ταύτην τὴν ἡμέραν ἐξίκετο τῆς τέχνης μέχρι τοῦ καὶ δρασμὸν ἐμποιεῖν τῷ χαλκῷ.* Pseudodio Chrys. 37, 10.

δρόμος. δρόμον ἀφέντες, citato cursu, Alciph. 3, 43, 1.

δυνατός. ἐν δυνατῷ ἐστι für *δυνατόν ἐστι. καὶ βλέπων ὥσπερ ἔκ τινος περιωπῆς ἐν κύκλῳ τὴν ἀνδραγαθίαν ἑκάστου, οὔτε τὴν σιγὴν δικαίαν ἡγοῦμαι τῶν ἀρετῶν, οὔτε τὴν ἀφήγησιν ἐν δυνατῷ.* Liban. I, 305, 14.

δυσαπαλλάκτως ἔχειν steht auch Dio Chrys. 38, 50.

δυσμεταχείριστος. Zeugniss für den Comparat. bei Themist. or. 258 C.

δυσομίλητος. λυπηρὸν πάντα τρόπον καὶ δυσομίλητον. Dio Chrys. 40, 27.

δύσαργος hat auch der Scholiast. zu Aristoph. av. 1490.

δωρεά. δωρεάν τι ἡγεῖσθαι, wie wir bei unverhofftem Vortheil sagen: das war wie gefunden. *ἀσμένως δὲ αὐτῶν προσεμένων (χρεῶν ἄφεσιν) καὶ τὸ πρᾶγμα δωρεὰν ἡγησαμένων μόνοι τῶν ἄλλων ὑμεῖς οὐκ ἐδέξασθε.* Dio Chrys. 31, 67.

ἔγκοιλος. πῇ μὲν ἔγκοιλον τὴν ὑπώρειαν τέμνοντες, πῇ δὲ προσοικοδομοῦντες. Liban. I, 353, 18.

ἐγχρήζω. τὰ ἐγχρήζοντα bei Luc. de conscr. hist. wird eben getadelt, denn im guten Stile heisst es *τὰ ἐπιτήδεια.*

ἐγχρίω. Vergl. *τὸ γὰρ αὐτὸ (ὕδωρ) ψυχρόν τε καὶ διαυγὲς καὶ ποτιμώτατον καὶ χάρισιν ἐγκεχρισμένον.* Liban. I, 353, 10.

ἔδαφος. Die Demosthenische Redensart *ὑπὲρ αὐτῶν τῶν ἐδαφῶν κινδυνεύειν* bei Späteren. *... φόβον, ὃν εἰκὸς τοὺς ὑπὲρ αὐτῶν τῶν ἐδαφῶν εἰς κίνδυνον ἥκοντας.* Liban. I, 486, 2.

ἕδος, Götterstatue. Zeugnisse dafür noch: *τοιαῦτα μὲν πρὸς τὸ ἕδος πόρρωθεν ἀπὸ τῆς στοᾶς διελέχθην*, und *εἶτα μάλα εὐχερῶς ἐκρίψαντες τὰ ἕδη ξύλων ἢ ἀχύρων τοὺς νεὼς ἐνέπλησαν.* Liban. I, 72, 2 und 248, 20.

ἑδράζω. θρόνος οὐκ ἀσφαλὴς οὐδ' ἡδρασμένος. Dio Chrys. 1, 78.

ἑδραιότης, sitzende Lebensweise. *ὅσαι μὲν (ἐργασίαι καὶ τέχναι) σώματι βλαβεραὶ πρὸς ὑγείαν ἢ πρὸς ἰσχὺν τὴν ἱκανὴν δι' ἀργίαν τε καὶ ἑδραιότητα.* Dio Chrys. 7, 110.

εἰ. Falsch ist, was über *εἰ δ' οὖν* bemerkt ist. Richtig aber Schneidewin zu Soph. Ant. 722: „*εἰ δ' οὖν*, nämlich *ἄλλῃ ῥέπει*, was euphemistisch verschwiegen wird, wie in Prosa *εἰ δέ, εἰ δὲ μή.*" Dieser Gebrauch des *εἰ δ' οὖν* findet sich aber auch bei späteren Prosaisten z. B. Dio Chrys. 11, 71. 18, 6. 31, 120. 34, 17.

ΕΙΔΩ. ἰδεῖν εἴς τι heisst auch: sich nach etwas, was man sucht, umsehen. *εὐθὺς μὲν εἰς ξίφος εἶδον*, sagt Liban. I, 91, 13, um seinen Schmerz über Julians Tod zu bezeichnen.

εἴδωλον. Umschreibend *εἴδωλά τινα σοφιστῶν*, unbedeutende Sophisten, Liban. I, 8, 11.

εἵμαρμαι. Vergl. *τὸ τῆς εἱμαρμένης ἀναγκαῖον.* Dio Chrys. 2, 78.

εἶπον. Wie *οὐ πολλῷ λόγῳ εἰπεῖν*, auch *ἁπαξαπλῶς εἰπεῖν.* Alciph. 3, 65.

εἰρηνικῶς. *ἃ τοίνυν εἰώθατε πρὸς ἀλλήλους εἰρηνικῶς ἀγωνίζεσθαι*, was ihr im Scherz gegen einander um die Wette zu sagen pflegt. Liban. I, 356, 5.

εἷς. Wie *εἷς ὁ πρῶτος*, auch das neutrum *ἓν* mit dem superlat. *ἓν μέγιστον ἐπευχόμενος.* Aristaen. I, 1 pag. 9 und vergl. Boiss. zu der Stelle pag. 248.

εἰς und *ἐς.* Ueber den Unterschied beider vergl. W. Dindorf zu Lucian, praef. p. XIII.

εἰσάγω. Vergl. *ἔτι ζῶντες εἰσάγοντες εἰς τὰς λειτουργίας τοὺς παῖδας.* Liban. I, 316, 2.

ἐκβοάω. *ῥῆμα ἐκβοηθέν.* Dio Chrys. 36, 34.

ἐκβολή, Ueberbordwerfen. Die Handlung heisst *ἐκ. ποιεῖσθαι.* *δοκεῖτε, ὥσπερ οἱ σφόδρα γέμοντες τῶν ναυκλήρων καὶ χειμαζόμενοι, διὰ τοῦτο ἐκβολὴν ποιεῖσθαι τῶν ἀνδριάντων.* Dio Chrys. 31, 108.

ἐκδέχομαι, in der Regierung nachfolgen, mit dem dat. *ὧν εἷς αὐτὸς ὁ Περίανδρος, ὁ τῷ πατρὶ ἐκδεξάμενος.* Pseudodio Chrys. 37, 6.

ἐκδρομὴ τῆς θαλάσσης, Ueberfluthung des Meeres. Liban. I, 488, 6.

ἐκεῖ scheint noch zu bedeuten 1) weg, fort. Vergl. *κἂν μὲν ὑπομείνωσι* (*οἱ ἡμέτεροι λόγοι*) *τὴν ἀκοὴν τὴν σήν, ἐπὶ σοὶ τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πτήσιμοι· εἰ δὲ μή, ῥίψον* (scr. *ῥῖψον*) *ἐκεῖ καθάπερ Μουσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον, ὡς νόθους.* Jul. ep. 16 pag. 21, wozu Heyler citirt Hesych. *ἐκεῖ· μακράν, πόρρω.* 2) in jenem Falle, wie *ἐνταῦθα* in diesem Falle. *ἀλλ' ἐκεῖ μὲν δύνανται λογίζεσθαι, ὅτι εἰ μὴ προσέξουσι, μηδὲ φροντίζουσι τῶν τοιούτων, λάθοι ἂν αὐτοὺς ἡ σύμπασα οὐσία διαρρυεῖσα καὶ ἀπολομένη· ἐνταῦθα δὲ οὐ δύνανται λογίσασθαι, ὡς εἰ μὴ προνοήσουσιν ἑκάστης ἡμέρας καὶ φυλάξουσι μὴ εἰκῇ προϊέναι, λάθοι ἂν αὐτοὺς ὁ σύμπας βίος διαρρυεὶς καὶ ἀπολόμενος.* Dio Chrys. 20, 6, wo im vorhergehenden von dem unnützen Gebrauch der Lebenszeit, verglichen mit dem Geldverluste, die Rede ist.

ἐκπαθής. In der Stelle Alciph. 2, 4 liest Meineke *ἐκπλαγής.*

ἐκπίπτω 4. *τούτων* (*τῶν ἀρχόντων*) *δὲ ἐμμείναντες τῷ τρόπῳ κατεγήρων ἐν τοῖς θρόνοις, οἱ δὲ ἐκπεσόντες ἑαυτῶν ἀπέθνησκον.* Liban. I, 185, 5: Die, welche sich selbst untreu wurden, d. h. hier ihr Amt schlecht verwalteten, wurden hingerichtet.

ἐκπλύνω figürl. *θυμὸς ἐξεπλύθη δάκρυσι.* Liban. I, 459, 7.

ἐκτίθημι. Wie *ὑπόδειγμα ἐκ.*, auch *παράδειγμα ἐκ. τῆς τῶν πενήτων διαγωγῆς παράδειγμα ἐκτιθείς.* Dio Chrys. 7, 81. — *ἐκτιθέναι λόγον κατά τινα*, ein Gerücht wider einen aufbringen. *ὥσπερ ἂν εἰ τήμερον ἐκθεὶς κατ' ἐμοῦ λόγον, ὡς εἴην ἀνοσιώτατος καὶ σὸς ἐχθρός, ἔπειτα ἠξίους με εἰδέναι χάριν, ὅτι μὴ τέθνηκα.* Liban. I, 470, 5.

ἐκφέρειν Pass. b. durch Leidenschaft hingerissen werden. Vergl. *ἐκφερόμενος τοῦ σχήματος*, Liban I, 89, 9, den äusseren Anstand aufgebend. So *ἐκφερόμενος τοῦ δέον-*

τος. Id. 209, 8 und 458, 12. *ἐκφέρεσθαι εἰς οἶνον. καὶ οὐκ ἦν ὁ κωλύσων εἰς οἶνον ἐκφερόμενον.* Id. 375, 9.

* *ἐκχύμισις*, subst. zu *ἐκχυμίζω*. Schol. zu Aristot. de part. an. 660 b. 5. cf. * *ἀλέαντος*.

ἔλασις. ἔλασιν ἐλαύνεσθαι. κατὰ τὴν ἔλασιν, ἣν ὑπ' Εὐρυσθέως ἠλαύνοντο. Liban. I, 290, 6.

ἐλάσσων. πρὸς ἔλαττον ἰέναι, sich verringern. *λόγος τε πολὺς ἐν ταῖς πόλεσι πρὸς ἔλαττον ἰέναι τῷ δεῖνι τὴν οὐσίαν.* Liban. I, 251, 5.

ἔλεγχος. εἰς ἔλεγχον πίπτειν auch bei Späteren. *δόξα τε ἦν παρὰ τῷ Βάλεντι πάντως ἂν εἰς ἔλεγχόν με πεσεῖν.* Liban. I, 114, 4. — *εἰς ἔλεγχον ἄγειν*, untersuchen. *ἐπικαταγομένων δὲ τῶν πορθμέων καὶ τοῦ πράγματος ἀχθέντος εἰς ἔλεγχον.* Pseudo-dio Chrys. 37, 4.

ἕλιξ, Zierrath auch am *κρατήρ*. Dio Chrys. 30, 37.

ἑλίσσω. Vergl. *ὅ τε Μαίανδρος ...., ὃς ἑλίττων μυρίας καμπὰς* etc. Dio Chrys. 35, 13.

ἔμβραχυ. Ueber den Gebrauch dieses Wortes ist zu vergleichen Cobet var. lect. p. 207.

ἐμφανής. Mit *καταστῆσαί τι ἐς τὸ ἐμφανὴς* vergl. *ἢ λάλος γείτων, ἢ ψίθυρος οἰκέτης ἀγορεύσει τὸ πρᾶγμα εἰς τοὐμφανές.* Alciph. 3, 52, 3.

ἐμφράσσω. Vergl. *ἐμφράττων καὶ τὸ τοῦ Μώμου στόμα τῇ τῆς ἀρετῆς ἀκριβείᾳ.* Liban. I, 401, 12.

* *ἐναιμία*, substant. zu *ἔναιμος*. Schol. zu Aristot. de part. an. 643, 2. Vergl. * *ἀλέαντος*.

ἐνέδρα. ἡ ἐπί τινα ἐνέδρα. τῆς ἐπ' αὐτὸν ἐνέδρας ἐμφανεῖ μάχῃ τὴν τιμωρίαν πραξάμενος. Liban. I, 299, 11.

ἐνεδρεύω, mit dem accus. und infin., einen mit List zu etwas verlocken. *μικροῦ με ἐνήδρευσας ἔργον ἀσεβὲς ἐργάσασθαι.* Charit. 4, 3, 6.

ἐνευπαθέω. Dieses Verbum steht bei Libanius sicher I, 359, 15 und 364, 7.

ἐνθυμέομαι heisst bisweilen sich etwas vorstellen durch die Phantasie, z. B. *φέρε δὴ ποῖόν τι πλάττωμεν τό τε σχῆμα καὶ εἶδος τοῦ φιλοτίμου δαίμονος; ἢ δηλονότι πτερωτόν τε καὶ ὑπηνέμιον κατὰ τὸ ἦθος αὐτοῦ καὶ τὴν ἐπιθυμίαν, ἅμα τοῖς πνεύμασι φερόμενον; ὁποίους τοὺς Βορεάδας ἐνεθυμήθησάν τε καὶ ἔγραψαν οἱ γραφεῖς.* Dio Chrys. 4, 117.

ἐνθυμιστός will getilgt wissen Cobet var. lect. pag. 57.

ἐντίκτω. Vergl. *αὐτῷ φόβους τινὰς ἐντεκών, ὡς δὴ γοητεύοιτο.* Liban. I, 37, 11, sich selbst in Furcht setzend.

ἔντιμος. Vergl. *ἐμὲ δὲ τὸ ἔγκλημα καταλαμβάνει σαφῶς, ὅτι δὴ χρέα πάντων ἐντιμότατα καταθεῖναι δέον εὐθὺς εἰς τόδε ἐμέλλησα.* Liban. I, 275, 13. Der Redner meint das Lob seiner Vaterstadt, *χρέα ἐν.* sind Schulden, die nicht abgestritten werden können, die schon längst hätten abgezahlt werden sollen.

ἐντρίβεσθαί τινι κόνδυλον etc. bedeutet auch: machen, dass jemand einen Backenstreich erhält. S. Cobet. var. lect. 224.

ἐξάγω 2a. ausser Landes führen, auch im med. *ἔμποροι καὶ ἀγοραῖοι ῥάκη φαῦλα καὶ οἶνον πονηρὸν εἰσκομίζοντες, καὶ τά γε παρ' ἡμῶν οὐδὲν βελτίω τούτων ἐξαγόμενοι.* Dio Chrys. 36, 25. — 2c. met. steigern. *εἰ τὸ μέτρον αὐτῆς ὡς ἐπὶ πλεῖστον ἐξῆκτο τῆς γῆς* und *τὸ μέτρον τῆς πόλεως ἐπὶ μεῖζον ἐξῆγεν.* Liban. I, 295, 7 und 309, 21.

ἐξαλλάσσω. Zu *ἐξηλλαγμένος* vergl. *οὕτω δὲ ὕπτιον καὶ συνεχὲς διὰ τέλους, οὐκ ἐξηλλαγμένον οὔτε χαράδραις, οὔτε πρανέσιν, οὔτε ἄλλων δυσκολιῶν εἴδεσιν.* Liban. I, 337, 22.

ἐξαντλεῖν. ἐξαντλῆσαι τὸ πολὺ τῆς οὐσίας steht bei Alciph. 1, 21 in einer so unsichern Stelle, dass Meineke die betreffenden Worte ganz herausgeworfen hat.

ἔξαρθρος figürl. .... *ἐμποδιζόμενον εἰς τὴν προφορὰν τοῦ λόγου ἐξάρθροις, ὡς εἰκός, φθόγγοις τοῦ κλαυθμοῦ κρυπτομένης μοι τῆς φωνῆς.* Nilus narr. 7 p. 109.

ἐξεμεῖν, wieder herausgeben müssen, auch bei Späteren in Nachahmung des Aristophanes, z. B. *κἂν ἐξέλθῃ* (der schlechte Beamte) *τῆς ἀρχῆς, μικρόν τι τοῦ παντὸς ἐξεμέσας τὸ πλέον κατέπεψε.* Liban. I, 185, 13.

ἐξεμπεδόω bei Xen. Cyrop. 3, 1, 12 streicht Cobet und schreibt *οὐκέτι ἠμπέδου.*

ἐξέρχομαι auch soviel, als entwendet, gestohlen werden. *διωθουμένου μου τὸν ἠθροισμένων ἐκ τῶν πόλεων ἄργυρον παριόντα τὸν ἐξεληλυθότα χρυσὸν θεραπεύειν πειρωμένων τοῖς παρὰ σφῶν τὴν βλάβην.* Liban. I, 43, 5.

ἐξέχω med. sich anklammern, figürl., wie bei KS. *μαίνεσθε καὶ παρανοεῖτε τοιούτων ἐξεχόμενοι σφόδρα οὕτω καὶ θεραπεύοντες ἀνθρώπους οὕτω ταπεινούς.* Dio Chrys. 45, 5.

ἐξίτηλος. figürl. *εἰ δὲ ἀτεχνῶς ὑψηλόν τε καὶ ἐξίτηλον ἀπέβη τὸ τοῦ λόγου σχῆμα*, wenn die allegorische Form meiner Rede gar zu hoch war, so dass sie sich dem Verständniss entzog. Dio Chrys. 36, 61.

ἐξουσία. Wie *ἐπ' ἐξουσίας* und *πρὸς ἐξουσίαν*, auch *μετ' ἐξουσίας.* Dio Chrys. 7, 140.

ἔξωθεν bedeutet 3) insuper, noch obendrein. Die folgenden Stellen aus Dio Chrys. lassen keine andere Erklärung zu. *ἡμῖν γὰρ ὁ πατὴρ οὐσίαν κατέλιπε τῇ μὲν δόξῃ μεγάλην, δυνάμει δὲ μικρὰν καὶ πολλῷ ἐλάττω ἑτέρων· οὐ μεῖον γὰρ ἢ τετταράκοντα μυριάδες ἦσαν χρεῶν καὶ πράγματα τοιαῦτα ἔξωθεν, ὥστε πολὺ τῶν χρεῶν εἶναι ταῦτα χαλεπώτερα.* 46, 5. *ἂν ἀντιτείνωσι, δικαιολογεῖσθε πρὸς μόνους μηδενὸς παρόντος ἔξωθεν.* 48, 10. *καὶ τοῦτο δὴ τὸ τῶν χαλεπῶν ἵππων γιγνόμενόν ἐστιν· ὅταν ὁ χαλινὸς μὴ κατισχύῃ, ψάλιον αὐτοῖς ἔξωθεν ἐμβάλλεται.* 48, 13. Das Wort in dieser Bedeutung scheint dem gewöhnlichen Leben und der nachlässigeren Schreibart anzugehören, denn die zwei angeführten Reden sind einfache, nur für den Augenblick

berechnete Aufsätze und der Ausdruck findet sich in keiner der grösseren und wahrhaft kunstvollen Reden des Dio.

ἐπᾴδειν τι ἑαυτῷ, sich etwas immer wieder vorhalten. *οὐκ εἶναί οὐ δυστυχέστερον ὁ ἑταῖρος ἔφασκεν. ἐγὼ δὲ ἐπέπληττον ἀκούσας, εἰ ἐξουσίας οὔσης λοῦσθαί τε καὶ δειπνεῖν καὶ ἥξειν* (*ἥκειν*?) *ἐπ' οἶνον, οὐ φάρμακον, ἔπειτα ἀτυχεῖν οἴεται, ψηφίζεται δή με δίκαια λέγειν, κἀντεῦθεν ἐπᾴδων αὐτῷ τὸ εἰρημένον, ὁπότε πληγείη τὴν ψυχήν, οὕτως ἐγίγνετο ῥᾴων.* Liban. I, 245, 11.

ἐπαιγίζω, wie im Homer, auch in der späteren Prosa. *χαλεπῶς γὰρ καὶ λάβρως ἐπαιγίζων ὁ βορρᾶς διεισί μου τῶν πλευρῶν ὥσπερ βέλος.* Alciph. 3, 42, 2.

ἐπαινέω, empfehlen, commendare. *τοὺς δὲ ἀντ' ἐκείνων ἄρξοντας ἀνεζήτει τρεῖς ἀντὶ τοσούτων ἐκείνων. ἐπῄνει τ' οὖν Αἰγύπτιός τέ τις εἰς τὴν ἀρχὴν πολίτης τέ τις ἐμός, ἄμφω παρόντε.* Lib. I, 19, 16. *ἐδεξάμην, ὃν ἐπῄνεσας νέον.* Id. ep. 1048. accepi, quem mihi commendaveras adolescentem, übersetzt Wolf.

ἐπαίρω. λόγον ἐπ., der Rede einen höheren Schwung geben, im höheren Stile reden. *βουλόμενος οὖν χαρίσασθαι αὐτῷ ἅμα τε ἐπιδεῖξαι, ὅτι οὐκ ἀδύνατός ἐστιν ὥσπερ ἵππον εὐμαθῆ καὶ πειθόμενον, ὅταν αὐτῷ δοκῇ, τὸν λόγον ἐπᾶραι, λέγει πρὸς αὐτὸν οὕτω περὶ δαιμόνων.* Dio Chrys. 4, 79.

ἐπανάγω. Vergl. *εἴ τί μοι πείθεσθε παραινοῦντι καὶ μικρὰ ὑμᾶς αὐτοὺς ἐπαναγάγετε* (lies *ἐπανάγετε*) *πρὸς τὴν ἀλήθειαν.* Julian. ep. 51 pag. 97.

ἐπαναιρέω. Wie *ἐπαναιροῦμαι ὀργήν, ἔχθραν* etc. auch *φιλοτιμίαν. οἱ γὰρ Αἰγαῖοι φιλοτιμίαν ἀνόητον ἐπανελόμενοι πρὸς ὑμᾶς.* Dio Chrys. 34, 10.

ἐπανίημι. Vergl. noch *μειδιάσας δ' οὖν ὁ Ζεὺς καὶ μικρὸν ἐπανεὶς τῶν ὀφρύων.* Luc. Icar. 23.

ἐπαφίημι met. Vergl. *σὺ δὲ ταῖς τῶν νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιεὶς ἐπὶ τὸν τῆς ἐπιστήμης πλοῦτον ἰθύνεις.* Julian. ep. 1, 1.

ἐπείγω. Mit *τὰ ἐπείγοντα* vergl. *εἰ δὲ καὶ τούτων ἁπάντων μεταλαμβάνειν ἐπιτρέψετε τοῖς δήμοις τοῖς καθ' ἑκάστην ἡμέραν αἰτουμένοις τὸ πρὸς τὴν χρείαν ἐπεῖγον.* Dio Chrys. 38, 32. — *ἐπείγεσθαι* b., für sich eifrig betreiben, auch mit *περί τι. οἱ μὲν οὖν ἄλλοι κεκμηκότες ἐκβάντες εἰς τὴν γῆν περὶ τὴν ἀνάληψιν ἠπείγοντο τὴν ἑαυτῶν.* Charit. 3, 6, 2.

ἐπειπεῖν τινι, Jemand eine Grabrede halten. *εἶτ' ἐπειδὴ Θουκυδίδης ἐπιτάφιόν τινα εἶπε τοῖς πρώτοις τοῦ πολέμου ἐκείνου νεκροῖς, καὶ αὐτὸς ἡγήσατο χρῆναι ἐπιειπεῖν τῷ Σευηριανῷ.* Luc. de conscr. hist. 26.

* *ἐπείσχυσις*, subst. verb. zu *ἐπεισχέω.* Schol. zu Aristot. de part. an. 679, 6. cf. * *ἀλέαντος.*

ἐπέρχομαι met. b. in der Rede darlegen, auch mit dem dat. der Sache. *ἐπιλείψει με, καθ' ἕκαστον εἰ πᾶσιν ἐπελθεῖν βουλοίμην, ὁ χρόνος*, und *ἐμοὶ δὲ ποθοῦντι μὲν ἐπελθεῖν ἅπασι τοῖς σοι πραχθεῖσιν, ἀπολειπομένῳ δὲ συγγνώμην εἰκότως παρέξεις.* Julian. or. I, 28 A. und 40 C.

ἐπιδίδωμι bedeutet augenscheinlich: dictiren. *γράφειν μὲν οὖν οὐ συμβουλεύω σοι αὐτῷ, ἀλλ' ἢ σφόδρα ἀραιῶς, ἐπιδιδόναι δὲ μᾶλλον.* Dio Chrys. 18, 18. Sofort bezeichnet Dio dasselbe durch *ὑπαγορεύειν*.

ἐπικατέχειν figürl. *ὁ γὰρ ἀδύνατος μὲν ὀργὴν ἐπικατασχεῖν.* Dio Chrys. 3, 34.

ἐπικυδής. Vergl. noch *τὰ τῶν Τρώων πολὺ κρείττονα καὶ ἐπικυδέστερα ἐγένετο.* Dio Chrys. 11, 137.

ἐπιλαμβάνεσθαι figürl. Zu der Stelle Alciph. 1, 1, 5 bemerkt Meineke: ita sane Byzantini scriptores locuti sunt, ut Cinnamus histor. 1, 3 *χειμῶνος ἐπιλαμβανομένου* aliique. Alciphronem *ἐπιλάβοι* scripsisse puto, praesertim quum ipse in eadem epistola § 3 dixerit *ἐπιλαβοῦσα ἡμέρα.*

ἐπιστρατεύω, Einwand erheben. *ὁ δὲ ἐωνημένος ἐπ' Ἰταλίας πορευόμενος δείσας μὴ παρακαλέσας ὕστερον τὴν συμμαχίαν τῶν νόμων ἐπιστρατεύσω τῇ πράσει.* Liban. I, 41, 9.

ἐπιστρέφεσθαι mit dem accus., sich wohin wenden, auch bei Späteren. *τί ἂν οἴεσθε, εἰ καθάπερ εἰκός ἐστι καὶ φασι τοὺς οἰκιστὰς ἥρωας ἢ θεοὺς πολλάκις ἐπιστρέφεσθαι τὰς αὐτῶν πόλεις τοῖς ἄλλοις ὄντας ἀφανεῖς.* Dio Chrys. 33, 47.

ἐπίτευγμα. Vergl. *δικαίας εὐχῆς ἐπίτευγμα τοῖς πρότερον εὐτυχηθέν.* Jul. ep. 34 pag. 56.

ἐπίτομος. *ἡ ἐπίτομος* ohne *ὁδός*. *δυναίμην δ' ἂν τυχὸν, ὥσπερ ὁδὸν ἰόντι μάλα ἰσχυρῷ καὶ ἀκμάζοντι παῖς ἢ τις πρεσβύτης ἐνίοτε νομεὺς ἐπίτομον δείξας ἢ λεωφόρον, ἣ οὐκ ἔτυχεν εἰδώς.* Dio Chrys. 18, 4.

ἐπιχαρίζομαι, noch dazu spenden. *βούλεσθε οὖν βραχύ τι καὶ τῶν νεωτέρων λόγων ἐπιχαρισώμεθα τοῦ μυθολογήματος.* Dio Chrys. 5, 24.

ἐπίχαρτος. Bei Alciph. 2, 4 liest Meineke *ἐπιχάριτον*.

ἔπος. Mit der Stelle Aeschyl. Eum. 586 vergl. *ἐδόκει δ' ἱκανὸς εἶναι λοιδορῆσαι καὶ τοῖς ἐρωτῶσιν ἀποκρίνασθαι πρὸς ἔπος.* Dio Chrys. 9, 6, d. h. einem in der Antwort nichts schuldig bleiben, nicht auf den Mund gefallen sein.

ἕπω. In welchem besonderen Sinne *ἕπω μετά τινος* gebraucht wird, sehe man bei Cobet var. lect. p. 22.

ἔρανος, geradezu unser Almosen. *Γναθωνίδης ὁ κόλαξ, ὁ πρῴην ἔρανον αἰτήσαντί μοι ὀρέξας τὸν βρόχον, πίθους ὅλους παρ' ἐμοὶ πολλάκις ἐμημεκώς.* Luc. Tim. 45.

ἐράω. Mit der Stelle Xen. Hier. 11, 11 ist ferner zu vergleichen und wohl eine Nachahmung derselben *ἀνάγκη τὸν ἥμερον καὶ φιλάνθρωπον βασιλέα μὴ μόνον φιλεῖσθαι ὑπ' ἀνθρώπων, ἀλλὰ καὶ ἐρᾶσθαι.* Dio Chrys. 1, 20.

ἐργολαβεῖν. Vergl. *εἴ τις ἄπληστος ἢ ἀκόλαστος ἢ* (vielleicht *ἦν ἢ*) *τὰ τῆς πόλεως ἠργολάβει.* Dio Chrys. 43, 10.

ἔριθος, ἡ. *ἄν τινος ἔριθος ἡ μήτηρ ᾖ.* Dio Chrys. 7, 114.

ἐρυθαίνω. *ἐρυθαίνεσθαι* mit dem genet. *ἐέρσης* bei Nonnus Dion. 11, 92.

ἔρχομαι. Zu den nachhomerischen Redensarten füge noch *εἰ μὲν οὖν ἐπ' ἔσχατα τῆς οἰκουμένης ἐλθόντες οὐδενὸς εἰς ζήτησιν ἐπιλειπομένου μένειν ἔγνωσαν, εἰς τὴν ἀνάγκην, ἀλλ' οὐ τὸν ἔρωτα τῆς χώρας τὸ τῆς αἰτίας ἦρχετ' ἄν.* Liban. I, 288, 12, d. h. die Ursache wäre Zwang, nicht Liebe gewesen.

ἑστιάτωρ 2) Bewirthete, Gast. *τοὺς μὲν οὖν ἐκείνης ἑστιάτορας ὀρχεῖσθαί τε καὶ κυλίεσθαι.* Dio Chrys. 30, 39 in einer allegorischen Stelle, wo die *'Ακράτεια* als Wirthin dargestellt ist.

ἑταιρικός. Vergl. *σχήματα ἑταιρικὰ γυναικῶν ἐν ὀρχήσεσιν ἀκολάστοις.* Dio Chrys. 2, 56.

ἑτερόφθαλμος. Zu den Zeugnissen für den metaphorischen Gebrauch des Wortes füge noch *καί τις ἂν ἑτερόφθαλμον τὴν ὧδε ἔχουσαν προσειπὼν οὐκ ἂν ἁμάρτοι.* Liban. I, 285, 8, wo behauptet wird, dass eine Stadt nicht allzuweit vom Meere gelegen sein dürfe, um zu prosperiren.

εὐάλωτος. Was den Comparat. *εὐαλούστεραι* bei Alciph. 2, 1, 6 betrifft, so schreibt dort Meineke *εὐαλέστεραι* und bemerkt: Libri *εὐαλούστεραι*, quod Lobeckius paral. p. 39 *εὐαλωτότεραι* vel *νεαλέστεραι* scribi voluit. Praetuli, quod ipse vir eximius probabiliter Hesychio restituit: *εὐαλής· εὐχερῶς θηρώμενος*, ubi vulgo contra literarum ordinem *εὐαλῶς* legitur.

εὐανδρία. Für „Wytt. ep. cr. p. 203" schreibe „Julian. or. 1, 34 D mit Wytt. Anmerkungen z. d. St."

* *εὐβοΐς*, castanea. *αἱ γὰρ εὐβοΐδες, εἶπεν, οὐχ ἱκαναὶ ἦσαν πιᾶναι, εἰ μή γε βαλάνους ἤθελον ἐσθίειν.* Dio Chrys. 7, 74.

εὐγενής. Vergl. über den Gebrauch dieses Wortes noch Dio Chrys. *ἔστι δὲ ὡς περὶ τοὺς γενναίους καὶ τοὺς εὐγενεῖς. τούτους γὰρ οἱ ἐξ ἀρχῆς ὠνόμασαν τοὺς εὖ γεγονότας πρὸς ἀρετήν, οὐδὲν πολυπραγμονοῦντες, ἐκ τίνων εἰσίν· ὕστερον δὲ οἱ ἐκ τῶν πάλαι πλουσίων καὶ τῶν ἐνδόξων ὑπό τινων εὐγενεῖς ἐκλήθησαν.* 15, 29.

εὐδαίμων. Vom Besitze gesagt, wie Hdt. 3, 14. *τὰ μὲν γὰρ ἄλλα τῆς βασιλείας ἀναγκαῖα νενόμικε· τὸ δὲ τῆς εὐεργεσίας μόνον ἑκούσιόν τε καὶ εὔδαιμον.* Dio Chrys. 1, 23.

εὐήνιος met. auch *πόλις.* Liban. I, 491, 13.

εὔθυμος mit dem acc. und inf. *ἔτι δὲ εὔθυμός εἰμι καὶ διὰ τὸ τῆς συνηθείας ὑμᾶς δυσαπαλλάκτως ἔχειν.* Dio Chrys. 38, 50.

* *εὐθυμοσύνη*, subst. zu *εὔθυμος.* *οἱ δ' ἐν τῇ νέᾳ (πόλει προφέρουσι) τὸ τεῖχος, τὴν νῆσον, τὰ βασίλεια, τὴν τῆς ὅλης εὐθυμοσύνην.* Liban. I, 356, 16.

εὐθύς. Mit *εἰς τὸ εὐθύ* vergl. *εἰ παρολίσθοι τὸ σμιλίον καὶ ἁμάρτοι τῆς τομῆς τῆς ἐπ' εὐθύ.* Luc. gall. 26.

εὔκαιρος. Vergl. *μόλις, ἔφησαν, κατέβημεν καιρὸν εὔκαιρον εὑροῦσαι.* Aristaen. 1, 2 p. 10.

εὔληπτος, leicht zu begreifen. *τούτων* (des Hyperides und Aeschines) *γὰρ ἁπλούστεραί τε αἱ δυνάμεις καὶ εὐληπτότεραι αἱ κατασκευαὶ καὶ τὸ κάλλος τῶν ὀνομάτων οὐδὲν ἐκείνων λειπόμενον.* Dio Chrys. 18, 11.

εὐπρεπής. Vergl. *εἰ δέ τινα δεῖ δίκην γενέσθαι τοῦ εὐπρεποῦς χάριν*, d. h. um den Schein zu wahren, to save appearances. Dio Chrys. 11, 121.

εὔφημος. *εὐφημότατα* hat auch Liban. I, 385, 17.

ἑῷος. *ἡ ἑῴα*, das Morgenland. *οὕτω δ' ἁπάσης τῆς ἑῴας ἐχούσης τὰ πρῶτα εἰς ἡμᾶς ἔρχεται.* Liban. I, 280, 1.

ζάχρυσος auch bei späteren Prosaisten. *οὐ μὲν ἀμαθὴς ἡ βουλή, κἂν πάνυ ζάχρυσος ᾖ μετ' ἀφωνίας.* Liban. I, 318, 2.

ζῆλος, beneidenswerthes Glück, daher dem *ἔλεος* entgegengesetzt. *νῦν δέ, ἀφ' οὗ προλέλοιπεν ὁ πλοῦτος Ὀρχόμενόν τε καὶ Δελφούς, ἐλέῳ μὲν ὑμῶν δύνανται διαφέρειν, ζήλῳ δὲ οὐδὲ εἷς.* Pseudodio Chrys. 37, 36.

ζηλοτυπεῖν, beneiden, *τινά τινος*. *καὶ γὰρ δὴ ἐτύγχανε τὸν μὲν Ὅμηρον ἀγαπῶν, τὸν Ἀχιλλέα δὲ οὐ μόνον ἐθαύμαζεν, ἀλλὰ καὶ ἐζηλοτύπει τῆς Ὁμήρου ποιήσεως.* Dio Chrys. 2, 32.

ζημιοῦσθαι mit dem acc. verlieren. Vergl. noch *ὑπὸ δὲ νόσου χαλεπῆς κατασχεθεὶς ὅλον ἐκεῖνον ἐζημιώθην τὸν καιρόν.* Dio Chrys. 45, 2.

ἥδομαι mit dem genet. wie bei Soph. Phil. 715 Diod. Sic. 27, 9 und nach den besseren Handschriften auch bei Theophyl. qu. ph. p. 13.

ἡδονή. Mit *καθ' ἡδονήν* vergleiche *κρείττονα ὀδυνηροῦ βίου τὸν καθ' ἡδονὴν θάνατον ἡγησάμενος.* Alciph. 3, 6, 3.

ἥκω. Wie *τό γε ἐς ἑωυτὸν ἧκον* Euseb. b. Stob. fl. 46, 10 auch *τό γε ἐφ' ὑμᾶς ἧκον.* Liban. I, 200, 18.

ἡμέρα. Wie *καθ' ἡμέραν* Tag für Tag, auch *πρὸς ἡμέραν*. *τὸ δὲ ἴδιον μέτρον ἀποδώσομεν πρὸς ἡμέραν.* Charit. 4, 2, 2.

ἥμερος. Vergl. *ὁ δὲ ὡς ἐπέλασεν, ἥμερον εἰς αὐτὸν ἰδὼν ἠφάνιστο.* Liban. I, 302, 21.

ἠχώ, Wiederhall. Eine Definition dieses Begriffes: *ὅτι ἐστὶν ἠχὼ φωνῆς ἐς ἀέρος πλῆξιν ἀντίτυπος ἠχὴ πρὸς τοὔμπαλιν τῆς ἀκοῆς ἀντανακλωμένη.* Julian. ep. 54 p. 105. Die Worte *ἐς ἀέρος πλῆξιν* scheinen verdorben.

θαῦμα. *θαύματα* auch der Ort für Seiltänzer- und Springerkünste. Vergl. Meineke zu Alciph. 3, 20: antiquiore tempore talia spectacula exhibebantur in locis, quae *θαύματα* appellabantur, de qua re dictum est in Exercitt. philol. Spec. II. pag. 1. Das Gegentheil von *ἐν θαύματι ποιεῖσθαι* bei Plut. Pomp. 18 ist *ἔξω θαύματος εἶναι*, nicht bewundert werden. *ὥσπερ γὰρ τῶν Ἀθήνησι λαμπρὰ μὲν καὶ τὰ ἄλλα, αἱ τριήρεις, αἱ ναυμαχίαι, τὸ πολλῶν ἄρξαι, κράτιστον δὲ ἡ τῆς σοφίας ἐπιθυμία τε καὶ τιμὴ καὶ*

κτῆσις· οὕτω δὴ καὶ παρ' ἡμῖν οὐδὲν μὲν ἔξω θαύματος, πάντα δὲ ἐλάττω τοῦ τῆς σοφίας ἔρωτος. Liban. I, 332, 21.

θαυμάζειν IIIa. Auch *θ. τινὰ εἰ. οὐκ ἂν οὖν θαυμάσαιμι καὶ ὑμᾶς, εἰ πιστότερον ἡγήσαισθε Ὅμηρον.* Dio Chrys. 11, 4.

θεμέλιος. θεμέλιον δέχεσθαι vom Hause, dessen Grund eben gelegt wird. *οὐκ ἄρα μάτην ἐν οἰκοδομίαις ἡ πόλις ἀεί, καὶ τὰ μὲν ἐρέπτεται, τὰ δὲ πρὸς μέσον ἄνεισι, τὰ δ' ἄρτι θεμέλιον δέδεκται.* Liban. I, 347, 15.

θεόσεπτος act. Gott verehrend, noch in einem Orakel: *ὅσσοι περ μακάρεσσιν ἐλωβήσαντο θεοῖσιν, ὧν κεῖνοι θεόσεπτον ἕλον θεραπηΐδα τιμήν.* Julian. ep. 62 p. 129.

θερεία. τῆς θερείας zur Sommerszeit, wie bei Nic. *πυροὺς ἐλάβομεν, σπέρμα ψιλόν, καὶ ἀπεδώκαμεν αὐτοῖς εὐθὺς τῆς θερείας.* Dio Chrys. 7, 69.

θέω δρόμῳ ich laufe eilig, aber *θέω δρόμον* ich wandle eine Bahn. *τἆλλα ἄστρα δι' ἐκείνου φαινόμενα καὶ ξύμπαντα ἐκείνου πεφυκότα μέρη τὰ μὲν περιφέρεσθαι σὺν αὐτῷ μίαν ταύτην ἔχοντα κίνησιν, τὰ δὲ ἄλλους θεῖν δρόμους.* Dio Chrys. 36, 44.

θηλή. Vergl. *ἀέρα ὑγρὸν ἕλκοντες, ὥστε νήπιοι παῖδες, οὔ ποτε ἐπιλείποντος γάλακτος, ἀεὶ σφίσι θηλῆς ἐγκειμένης.* Dio Chrys. 12, 30.

θηρίον. θηρία und *ὄρνιθες* entgegengesetzt. *τοῦτο μὲν θηρίων, τοῦτο δὲ ὀρνίθων.* Dio Chrys. 12, 68.

θνήσκω. τὸ θνῆσκον alle, die sterben, wie *τὸ φεῦγον*, die Masse der Fliehenden. *τὴν δὲ ἀπὸ τοῦ λίμου καὶ ἅμα ἀπὸ τοῦ λοιμοῦ λύπην, ἐξ ὧν πολὺ τὸ θνῆσκον, οὐδ' ἂν εἰπεῖν ὅση μοι κατέσχε τὴν ψυχὴν δυναίμην.* Liban. I, 142, 13.

ἱδρύω. Mit *ἱ. τοὺς βίους* etc. vergl. *οὐ μὴν ὥσπερ ἐπὶ ταύτῃ πολλὰς ᾤκισεν, οὕτως ἔστιν εἰπεῖν, ὡς πρὸ ταύτης ἑτέραν ἔθετο, ἀλλ' αὐτός τε ἐνταῦθα τὸ σκῆπτρον ἱδρύσατο* etc. Liban. I, 305, 4 und

ῥεῖα δὲ Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους ἱερὰν Ἑλλάδ' ἱδρυσάμεθα

in einem Epigramm des Simonides bei Pseudodio Chrys. 37, 18

S. 1472 Col. 1 Z. 3 bessere *κνήμη.*

ἴκριον. σκηνὴ καὶ ἴκρια verbunden. *ἐπὶ δὲ Σωκράτους, ὃς ἄνευ σκηνῆς καὶ ἰκρίων ἐποίει τὸ τοῦ θεοῦ πρόσταγμα, ... οὐχ ὑπέμειναν.* Dio Chrys. 33, 9.

ἵνα. Zum Gebrauche der Späteren gehört auch, dass *ἵνα* bisweilen augenscheinlich für ut concessivum gesetzt wird. S. Dio Chrys. 49, 15 und Pseudodio Chrys. 37, 11.

ἰνδάλλομαι in transit. Bedeutung zeigen, vorstellen, also wie *ἰνδαλματίζω. πρότερον μὲν γὰρ ἅτε ουδὲν σαφὲς εἰδότες ἄλλην ἄλλος ἀνεπλάττομεν ἰδέαν πᾶν τὸ θνητόν, κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ φύσιν ἕκαστος ἰνδαλλόμενοι καὶ ὀνειρώττοντες.* Dio Chrys. 12, 53.

ἱπποτρόφος entspricht dem römischen eques. *εἰ δέ τις οὐ Λευκανὸς ὤν, ἀλλὰ Ῥωμαῖος, οὐδὲ τοῦ πλήθους, ἀλλὰ τῶν ἱπποτρόφων* etc. Pseudodio Chrys. 37, 25

3*

ἱστάναι ἔριν, Zwist erregen, dagegen *οἱ μὲν οὖν λαμπρύνοντες τάς τε Ἀθήνας καὶ Κορινθίων τὸ ἄστυ θεομαχίας περὶ τὰς πόλεις ἱστᾶσιν*, sie erdichten, nehmen an Götterkämpfe. Liban. I, 293, 16. — Wie *στῆναι ἐς δίκην*, oder *ἐς ἀρχήν*, ähnlich auch *καὶ γὰρ τούτους* (*τοὺς κύνας τοὺς Λάκωνας*) *ὅταν στῶσιν εἰς τὰς πανηγύρεις, πολλοὺς μὲν εἶναι τοὺς καταψήχοντας καὶ προσπαίζοντας* etc. Dio Chrys. 8, 11, wo Reiske übersetzt „prostent venales".

Unter *ἱστός* schreibe für Od. 12, 144 vielmehr 2, 105. *ἱστὸν ἀναλύειν* auch figürl., wie telam retexere. *ἀφαιρουμένης δὲ τῆς τύχης* (*τὸν πλοῦτον*) *καὶ τὸν αὐτῆς ἱστὸν ἀναλυούσης*. Liban. I, 251, 2 vergl. mit Aristaen. ep. 1, 18 p. 125.

* *ἰσχνέγχυλος*, weder zu fett, noch zu mager. *οὔτε κατάξηρος, οὔτε κατάσαρκος, ἀλλ' οἵας λέγομεν ἡμεῖς τὰς ἰσχνεγχύλους*. Alciph. fr. 5.

καθαίρειν, auch mit *ἀπό τινος*. *ὕστερον δὲ Ἡρακλέα τὴν σύμπασαν γῆν καθαίροντα ἀπό τε τῶν θηρίων καὶ τῶν τυράννων ἐκεῖσε ἀφικέσθαι*. Dio Chrys. 5, 21.

καθηγέομαι. In dem Sprichwort bei Plat. Theaet. p. 200 E. ist *τὸν ποταμὸν* nicht der acc. des Ortes, zu dem man jemand führt, sondern *ὁ τὸν ποταμὸν καθηγούμενος* heisst qui vadum praeit in fluvio; dasselbe Sprichwort hat auch Aristaen. ep. 1, 4 p. 22.

καθιππεύω. Auch das med. kommt mit dem acc. vor, wie *καθιππάζομαι*. *τὰ ἐπισημότερα τῆς πόλεως καθιππεύοντο τὴν νίκην καὶ μόνῳ τῷ σχήματι δημοσιεύοντες*. Heliod. aeth. 10, 3.

καίω. *καίεσθαί τινος* ohne *ἔρωτι* auch Charit. 4, 6, 2: *καὶ γὰρ αὐτὸς ἐκάετο τῆς Καλιρρόης*.

κακός. *κακὸν γενέσθαι εἴς τινα*. *γίνεται δὲ καὶ αὐτὸς εἰς ἐμὲ κακός, ὥσπερ ἀχθόμενος, ὅτι με ἐν Βιθυνίᾳ προὐβέβλητο*. Liban. I, 106, 12

καλός. Zu *ἐν καλῷ* vergl. noch *ἐζήλωσεν ἐν καλῷ*, probe aemulatus est. Alciph. 3, 64.

καλύπτω met. in Schatten stellen, übertreffen. Vergl. *ἀποκρύπτειν*. *καὶ γὰρ πράττοντας, οἷς πράττεις, καὶ λέγοντας, οἷς λέγεις, ἐκάλυψας*. Liban. I, 422, 15.

καλῴδιον. Sprichwörtlich *καὶ ἔχονται δὴ τῶν τόπων, οἷον καλῳδίων, ὥσπερ Ὀδυσσεὺς τοῦ ἐρινεοῦ*. Liban. I, 358, 13.

καρπὸς θαλάττιος, Perlen, bei Liban. I, 387, 1. — 3) vergl. *οἱ μὲν ἑστᾶσι λιθίνοις ἐοικότες, καρπῷ καρπὸν ἐπιβάλλοντες*. Liban. I, 200, 6, von faulen Zuhörern, die kein Zeichen der Theilnahme bei ihres Lehrers Libanius ausgezeichnetem Vortrage von sich geben.

* *Κάσος, ὁ*, nom. prop. *θεὸς δὲ ... κινεῖ Κάσον ἐκ Κρήτης, ἄνδρα ἀγαθόν*. Liban. I, 289, 9.

καταβλακεύω. Vergl. *παπαὶ τῶν ἀμέτρως κατεβλακευμένων ἠθῶν*. Aristaen. I, 18 p. 125

κατάγω. *κ. πρὸς ἑαυτόν*, zu sich herabziehen, erniedrigen. *πόλιν οὐδέποτε δεῖ κολούειν οὐδὲ κατάγειν πρὸς αὑτὸν οὐδὲ πρὸς τὴν ἑαυτοῦ ψυχὴν μετρεῖν*. Dio Chrys. 40, 11.

καταχλύζω. Ausser anthol. 11, 137 vergleiche noch *τὰ μὲν οὖν ἀργύρια οὐκ αἴτια τοῦ μὴ τὰς τῇδε συνουσίας κατακλυσθῆναι λόγῳ.* Liban. I, 199, 6.

κατακόπτω, zu Münze machen, wie Dem. eloc. 298. *δοκεῖ δὲ οὐδέποτε ἂν ἀσφαλῶς ζῆν, οὐδ' εἰ χαλκοῦς ἢ σιδηροῦς γένοιτο, ἀλλὰ καὶ οὕτως ἂν κατακοπεὶς ἢ καταχωνευθεὶς ἀπολέσθαι.* Dio Chrys. 6, 57.

καταπέσσω. κἂν ἐξέλθῃ τῆς αρχῆς, μικρόν τι τοῦ παντὸς ἐξεμέσας τὸ πλέον κατέπεψε. Liban. I, 185, 13.

* *καταποτάομαι*, herniederfliegen. *ὁ δὲ εἰς μέσην καταποτώμενος τὴν φλόγα ἀνελόμενος τὰ μηρία γέμοντα πυρὸς ἀπέφερεν.* Liban. I, 300, 3.

κατασκέλλω. Es fehlt der aor. II. *κατασκλῆναι* durch Eustath. bezeugt bei Alciph. 3, 3, 4 und Meineke hat ihn in den Text gesetzt.

κατασπαθάω ist jetzt bezeugt durch den Ven. bei Alciph. 3, 50, 1.

κατασπένδω 1) Ganz ähnlich, wie bei Synes. *κατασπένδω τούτων μου τῶν γραμμάτων δάκρυα καὶ φιλήματα.* Charit. 4, 4, 8.

καταστενάζω. κατεστεναγμέναι steht Alciph. 1, 36, 2.

κατατάσσω. Das med. wie das act. in eine Klasse bringen. *εἰ μὲν οὖν τις ἐρωτήσειε ἕνα ἄνδρα ἢ πολλοὺς ὁμοῦ περὶ τῶν ὀνομάτων αὐτῶν, ἐν ποίῳ δὴ μέρει τὰ τοιαῦτα κατατάττεται, πόλεμοι καὶ στάσεις καὶ νόσοι καὶ τὰ τούτοις ὁμότροπα· οὐδὲν ἂν μελλήσας ἀποκρίναιτο, ὅτι ταῦτα ἐν τοῖς κακοῖς τάττεται.* Dio Chrys. 38, 13.

καταφέρω heisst auch erlegen, tödten. *Ὠρίων σκορπίῳ κατενεχθείς. καὶ πολιορκῶν δὴ τοξότης κατενέγκαι ἂν τὸν ἐπὶ τείχους πολλάκις.* Liban. I, 227, 13 und 229, 10.

κατ' εὐθύ. τοῦ ἡλίου ἐπιλάμψαντος εἰς τὸ κατ' εὐθὺ μάλιστα ἀντιλάμπει. Dio Chrys. 21. 14.

κεῖμαι 3) vergl. *ἔπεισε δὲ καὶ πατέρα θανάτῳ παιδὸς κείμενον αὐτόν τε μὴ ἐσθίοντα τροφήν τε δυσχεραίνοντα διαλλαγῆναί τε πρὸς αὐτήν* etc. Liban. I, 259, 5.

κέραμος, Dach. *μέχρι κεράμων ἀνέβη τὸ πλῆθος στενοχωρούμενον.* Chariton 3, 2, 17.

κερδαίνω. Auch im Thesaurus fehlt die Bedeutung: sich etwas (unangenehmes) ersparen, compendi facere. *πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά.* Philem. bei Cobet var. lect p. 261. *κερδαίνοντα τὸ γοῦν ἕτερον μέρος τῆς ἐνοχλήσεως.* Diog. La. 7, 14. *ἀλλ' ἑκάστῳ κέρδος ἦν οὐ τὸ ῥύσασθαι τοὺς δουλεύοντας, ἀλλὰ κερδᾶναι τὰ παραπλήσια.* Himer. or. 2, 14. *τοσούτου τοίνυν θορύβου γῆς διὰ πάσης ἠχήσαντος καὶ κρινομένων ἐπὶ τῆς Ἑλλάδος τῶν ὅλων οἱ μὲν ἄλλοι σύμπαντες τοσοῦτον ἔτι τὰ δεινὰ κερδαίνειν ᾤοντο, ὅσον ἀπεῖναι Πέρσας τῶν πόλεων.* Id. 2, 26. *εἰ μὲν οὖν ἔχεις εἰπεῖν, ὡς οὐκ ἀσεβεῖς οἷς εἴρηκας, οὐ κρίνω τοὺς λόγους· εἰ δ' ἀσέβεια τοῖς λόγοις πρόσεστιν, οὐ διὰ τοὺς λόγους κερδανεῖς τὴν δίκην, ἀλλὰ κολασθήσῃ πλέον, οἷς ἐπὶ τὸ ἀδικεῖν τοῖς λόγοις κέχρησαι.* Id. eclog. 3, 8. *ἔασόν με σιωπῶσαν δυστυχεῖν, αὐτὸς ὡς βούλει γνωρίσας τὴν νόσον, καὶ τὴν γοῦν*

αἰσχύνην κερδαίνειν κρύπτουσαν, ἃ καὶ πάσχειν αἰσχρὸν καὶ ἐκλαλεῖν αἰσχρότερον. Hel. aeth. 4, 10. *κερδήσωμεν ἄλην ἀνήνυτον καὶ πλάνητα βίον καὶ τὴν ἐπάλληλον τοῦ δαίμονος καθ' ἡμῶν πομπείαν.* Id. 5, 6. *κρεῖττον οὖν μοι δοκεῖ πρὸ τοῦ γεννηθῆναι τὸ παιδίον ἢ γεννηθὲν ἀπολέσθαι· κερδανεῖς γὰρ ὠδῖνας ματαίας καὶ κυοφορίαν ἄχρηστον.* Charit. 2, 10, 2. *εἰ δ' οὖν ἐκείμην ταύτην μετὰ ταῦτα κερδήσας τὴν πρᾶσιν, τὸ λῃστήριον, τὰ δεσμά* etc. Id. 6, 2, 10. Endlich auch bei den Byzantinern z. B. Theod. Prod. 2, 294.

κέρδος. Wie *κ. νομίζειν* oder *ἡγεῖσθαι*, auch *κ. ἀριθμεῖν. οἰόμενοι τρυφᾶν οἱ ἀνόητοι καὶ κέρδος ἀριθμοῦντες τὸ μηδένα κωλύειν αὐτοὺς ἁμαρτάνοντας.* Dio Chrys. 31, 158.

κεφαλή. Wie *ἐπὶ κεφαλήν*, auch *ἐπὶ κεφαλῆς.* Luc. Peregr. 24.

κληροῦχος met. Anhänger, Schüler. *παρεκάλει δὲ τοὺς τῶν ἐδῶν τούτους καταγελῶντας, τοὺς τοῦ Οὐρανίου κληρούχους, ἀφέντας ἃ ἀλαζονεύονται τἀμὰ ζηλοῦντας ὁρᾶσθαι.* Liban. I, 109, 1.

κνησιάω. Die Form *κνηστιάω* in figürl. Bedeutung: Lust zu etwas empfinden. *πολλοὶ πάντως εἰσὶ τῶν αὐτοῦ μαθημάτων δυνάμενοι τὰς ἀκοὰς ὑμῶν κνηστιώσας καὶ δεομένας ἀσεβῶν ῥημάτων ἱκανῶς παραμυθήσασθαι.* Jul. ep. 51 p. 97.

κνυζηθμός. κνυζηθμοὶ καὶ ὑλαγμοί. Dio Chrys. 32, 62.

κοῖλος. τὰ κοῖλα τῆς Εὐβοίας, die Schären Euböas, ein den Schiffen gefährlicher Theil der Küste dieser Insel. Dio Chrys. 7, 2 und 7.

κοινός. καὶ μὲν τό γε ἐν κοινῷ κεῖσθαι (*τὰς εἰκόνας*) *γελοιότατόν ἐστι*, dass sie öffentlich aufgestellt sind. Dio Chrys. 31, 48, vergl. auch §§ 53 und 54. — *τὰ κοινὰ* sind auch öffentliche Gebäude. *ἀλλ' οἴκοις μὲν ἐχρῆτο ταῖς πόλεσι καὶ ἐνταῦθα διέτριβεν ἐν τοῖς κοινοῖς τε καὶ ἱεροῖς, ἅπερ ἱδρύονται τοῖς θεοῖς.* Dio Chrys. 4, 13.

κολοβός. βοῦς κολοβή. Dio Chrys. 7, 47.

Κολοφών, Κολοφώνιος. χρυσὸς Κολοφώνιος figürl. das beste, feinste. *ταύτην ἐγὼ τὴν ὁδὸν τὴν ἀπὸ τῆς πόλεως ἐπὶ τὸ προάστειον ἥδιστα ἂν προσεῖπον τῆς αἰγίδος θύσανον ᾗ περιβάλλει τὴν Ἀθηνᾶν Ὅμηρος· οὕτως ἅπασα χρυσῆ καὶ τελευτᾷ γε εἰς χρυσὸν Κολοφώνιον.* Liban. I, 351, 1.

κουρικός. ἡ κουρική (scil. *τέχνη*). Dio Chrys. 7, 117.

κράζω, nennen. *οἱ μὲν γάρ, ἣν ἡλίου κεκράγασι τράπεζαν, πλήρη κρεῶν ἀνιόντος τοῦ θεοῦ παρέχονται.* Liban. I, 359, 6. Zieht man nicht vor *κεκλήκασι* zu lesen, so ist die Umänderung des Begriffes hier ähnlich, wie bei *κατηχεῖν* und *ἐρεύγεσθαι.* Vergl. Cobet var. lect. 320.

κρηπίς. κρηπῖδα καταβάλλεσθαι auch in späterer Prosa. *ἡ κρηπὶς δὲ εἰ καταβληθείη, πολὺν τὸν ὄχλον ἐπιρρέοντα ὄψει.* Liban. I, 24, 16 vergl. mit Eur. Herc. fur. 1261.

κρίκος. In der letzten Zeile lies: Julian. or. I. etc.

κρίνον 2. Es ist noch herbeizuziehen, was Meineke über den sprichwörtlichen Gebrauch anführt zu Alciph. 1, 21.

κροῦμα. Vergl. noch: *τίς γὰρ αὐτῶν ᾠδὴν τέλειον ἢ γενναῖον ῥυθμὸν οἷός τε εἰπεῖν; ἀλλὰ ᾄσματα γυναικῶν καὶ κρούματα ὀρχηστῶν* etc. Dio Chrys. 32, 62.

Κρωβύλος. Κρωβύλου ζεῦγος sprichwörtlich von einem Paar böser Weiber. S. Boissonade zu Aristaen. ep. 1, 14 p. 440.

κυάνεος. κυάνεαι νῆσοι. Herod. 4, 85, Eur. Med. 2 und sprichwörtlich *τὰς κυανέας διαπλεῖν*, etwas schweres vollbringen. Liban. I, 376, 23.

κυκάω. Das pass., in Verwirrung gerathen, auch bei Späteren. *τί σφόδρα οὕτω κυκᾶσθε.* Dio Chrys. 32, 75.

κύκλιος. κ. μορφή, Kreisgestalt. Liban. I, 340, 2.

Κύκλωψ. Vergl. *τοιούτοις, ὦ βασιλεῦ, προσπαλαίσας Ἀριστοφάνης Κύκλωψι δεῖταί σου πέμψαι παρὰ τοὺς οἰκείους χαίροντα.* Liban. I, 430, 14. Hier scheint *K.* figürl. Feinde, Ungethüme zu bedeuten.

κῦμα. Wie *κῦμα ἀνδρῶν* etc. auch *κῦμα λίθων*, eine Menge Steine. *ἔπειτα ἀπορραγὲν κῦμα λίθων ἐφέρετο μέγα.* Liban. I, 239, 1.

κύριος. τὸ κύριον τῆς κτήσεως, der Rechtstitel des Besitzes. *ἐδόκει αὐτοῖς, ὃν ἄν τις ᾖ κεκτημένος κυρίως, ὥσπερ ἄλλο τι τῶν αὑτοῦ χρημάτων ἢ βοσκημάτων, ... οὗτος ὀρθῶς λέγεσθαί τε καὶ εἶναι δοῦλος τοῦ κεκτημένου. πάλιν οὖν ἠμφισβήτει ὁ περὶ τῆς δουλείας ἀντιλέγων, ὅ τι ποτ' εἴη τὸ κύριον τῆς κτήσεως.* Dio Chrys. 15, 24.

κυρτόω, auch vom Winde, schwellen, blähen. *καθευδόντων αἱ σινδόνες ὑποπνέοντος περὶ τοῖς σώμασι κυρτοῦνται.* Liban. I, 347, 12.

κυρτών. Das nom. prop. *Κύρτων.*

κωμάζω 4) mit *κατά τινος. κωμάσαντος γὰρ κατὰ Περσῶν τοῦ στρατοῦ φόνοις τε καὶ τροπαῖς* etc. Liban. I, 90, 11.

κωμῳδία 2) auch im Allgemeinen, Possenspiel, Gaukelei. *ποίαν οὐκ ἂν προὔπιεν Αἴγυπτον ἀντὶ ταύτης τῆς κωμῳδίας;* Liban. I, 448, 3. Wozu Reiske: et Aegypti et alius cujusque provinciae aeque quaestuosae, atque Aegyptus est, praefecturam ei mandasset, pro illo mimo, quomodo ejurationem paganismi et professionem Christianismi coram coetu in ecclesia congresso appellat.

κώνειον Z. 4. Schreib *τὸ κ. πίνειν.* Xen. Hell. 2, 3, 56.

* *λαύραξ*, schlechtere Schreibung für *λάβραξ* beim Schol. zu Aristot. de part. an. 680 b. 7, vergl. * *ἀλέαντος.*

λάγνος. Das fem. *λάγνη* frag Com. 3, 199.

λαλεῖν. Wie *λ. τι* auch *λαλεῖν τινα. πανταχῇ πάντες αὐτὴν λαλοῦσι.* Alciph. fr. 5. *πολλὰ ἐλάλει Δάφνιν.* Long. 1, 13.

λεαίνω. ὁδοὺς λεαίνειν, Wege bahnen. *ὁ δὲ ὁδοὺς ἐλέαινεν.* Liban. I, 312, 3.

λέγω 3) dazu zählen, rechnen, auch in Prosa. *καὶ γὰρ ἢν νεμησητὸν τὸν αὐτὸν ἄνδρα νῦν μὲν ἐν θεοῖς λέγειν, νῦν δ' οὐδ' ἐν ἀνθρώποις.* Pseudodio Chrys. 37, 41.

λεῖος. Wie τὸ λεῖον auch ἡ λεία. ἐπειδὴ προϊὼν ὁ χρόνος τὰς μὲν τοιαύτας ἀνάγκας ἔπαυσε, βουλῆς δὲ κύριον ἐποίησεν, ὑπῆρχε δὲ καὶ διὰ τῆς λείας ἔρχεσθαι. Liban. I, 375, 8.

λήθη. Wie ἐμβάλλειν τινὰ εἰς λήθεν auch λήθην τινὶ ἐπιθεῖναι. τὸ τὸν τετιμηκότα τοῦ περιυβρικότος εἶναι βελτίω μεγάλην ἰσχὺν εἰς τὸ λήθην ἐπιθεῖναι τοῖς φαυλοτέροις ἔχει. Liban. I, 432, 6.

λῆξις. λ. τῆς Ἀθηνᾶς, Athen. Liban. I, 377, 6. 410, 18.

* *Λίβος* nom. propr. einer Stadt. οἱ συνήγοροι δὲ ἡμῖν μέχρι Λίβου μὲν ἧκον. Liban. I, 47, 7 und Wesseling vetust. Itiner. p. 140 et 573.

* *Λιμουργοί,* Name einer niedrig stehenden Klasse von Bürgern in Tarsus. Dio Chrys. 34, 21.

λινάριον, Fangnetz. καὶ τὸν λαγὼ τοῦτον σύ, ἔφην, ἔλαβες; ἑάλω, ἔφη γελάσας, τῷ λιναρίῳ τῆς νυκτός. Dio Chrys. 7, 71.

λοιμός adj. ἐγκαταστήσων ἐνταυθοῖ διδάσκαλον τὸν λοιμὸν Γερόντιον etc. Liban. I. 120, 12.

Λοξίας. Noch eine andere Ableitung dieses Namens s. bei Liban. I, 226, 15 seq.

μάλα. Ueber die Formel μᾶλλον δὲ ὅλως s. Wyttenb. zu Julian. or. I p. 47 B.

μαλακοποιέω. Wenn Favorinus der Lexikograph ist, so hatte er das Wort vielleicht aus Dio Chrys. 32, 57: οἱ ἰατροὶ τὰ φλεγμαίνοντα τῶν ἑλκῶν ὑγραίνοντες καὶ μαλακοποιοῦντες ἀνώδυνα ἔθηκαν.

μαλκιάω. Ueber dieses Wort vergl. noch Cobet var. lect. p. 132.

μάντις, dual. μάντιε bei Dio Chrys. 13, 36. Derselbe hat auch ἡ μ. καὶ ταῦτα μάντεως οὔσης παρ' αὐτοῖς ἀψευδοῦς. 11, 125.

μάστιξ. αἱ μάστιγες, Name eines laconischen Festes. νῦν μὲν ἐφ' ἑορτὴν Λακωνικήν, τὰς μάστιγας, ἐπειγόμενος. Liban. I, 18, 10.

μεγαλοψυχία. Der plur. τὴν ἐκ τῶν νόμων ἀτέλειαν ταῖς μεγαλοψυχίαις εἰς τέλος ἄγοντες. Liban. I, 316, 3.

μεθαρμόζω zum schlechteren. οὔτε γὰρ ὁ χειμὼν ὑπὸ πλεονεξίας ἐπιλαμβάνει τὸν τοῦ ἦρος χρόνον μεθαρμόττων εἰς αὐτὸν τὴν κείνου τέρψιν etc. Liban. I, 283, 10.

μεθίστασθαι ohne βίου, sterben. Τριπτόλεμος μὲν οὖν τὰς πρώτας ὑποθέσεις βαλόμενος τῇ πόλει μεθίσταται καὶ διὰ τῶν τιμῶν ἐν τοῖς ἥρωσιν ἠριθμεῖτο. Liban. I, 289, 6.

μελῳδέω. Zum pass. vergl. οἷον δή φασι τὸν τῶν Σειρήνων εἶναι σκόπελον ἀεὶ μελῳδούμενον. Dio Chrys. 33, 35.

μεμερισμένως findet sich auch bei Liban. z. B. I, 282, 1.

μέρος, auch Stelle einer Schrift. ἀνάμνησον γὰρ σαυτὸν τῆς ἐπιστολῆς, ... ἐν ᾗ σαφῶς εὐεργέτας σαυτοῦ τοὺς Κορινθίους καλεῖς. ἀλλὰ γὰρ αὐτοῦ μοι δεῖ τοῦ μέρους τῆς ἐπιστολῆς, καὶ γὰρ ἂν ἡδίους τοὺς ἀκούοντας ποιήσαιμεν. Liban. I, 434, 12.

Es folgen sofort die Worte Julians selbst. — *κατὰ μέρος.* *οἱ κατὰ μέρος* sind die einzelnen Bürger für sich. *ἆρ' οὖν οἱ τότε ὄντες οὕτω προσεφέροντο τοῖς κατὰ μέρος;* und *πολλὰ ἔστιν εὑρεῖν, ἃ κοινῇ μὲν ἀπεγράψατο ἡ πόλις, διήρηται δὲ εἰς τοὺς κατὰ μέρος.* Dio Chrys. 31, 46 und 48. — *παρὰ μέρος*, nur an einem Theile. *ἔλαθε γὰρ τοῦτο παρὰ μέρος ποιῶν καὶ οὐ κατὰ πάσης τῆς γνάθου.* Alciph. 3, 66, 3. — Wie *κατὰ τοῦτο τὸ μέρος* bei Dion H. in dieser Hinsicht, so auch *ἐν τούτῳ τῷ μέρει.* *ἐγὼ μὲν γὰρ ἐν τούτῳ τῷ μέρει μικροτέραν αὐτόν φημι ποιεῖν τὴν πόλιν.* Liban. I, 268, 18.

μεσημβρία. *μεσημβρίας ἑστώσης*, am hellen Mittag. *στάδιοι γὰρ τὸ μέσον εἴκοσι καὶ ἑκατόν· ὥστε ἀνὴρ εὔζωνος ἅμα ἡλίῳ κινηθεὶς ἐνθένδε κομιεῖ τι τῶν ἐκεῖθεν ἔτι μεσημβρίας ἑστώσης.* Liban. I, 286, 24.

μετακαλέω, umnennen. *οὕτω καὶ κλήσεως Ἑλληνικῆς βαρβαρικήν μοι κλῆσιν ἀντεπιτέθεικεν (τὸ δαιμόνιον) Ἀτράκην ἀνθ' Ὑσμινίου μετακαλέσαν με.* Eustath. 9, 13, 5.

* *μετάλλευμα*, aus der Erde gewonnenes Metall. *βροντῆς γὰρ εἴδωλον ἄφθογγον ἢ ἀστραπῆς ἢ κεραυνοῦ εἴκασμα ἄλαμπες ἐκ τῶν τῇδε ἐπιγείων μεταλλευμάτων ποῖον ἄν τι καὶ γένοιτο;* Dio Chrys. 12, 79.

μεταφέρω. Vergl. *δῆσαί τε αὐτὸν τῷ πατρὶ συμβουλεύσας καὶ μετενεγκεῖν ἐφ' ὕδωρ ἀπ' οἴνου.* Liban. I, 144, 16.

μετέωρος, auch unaufmerksam, zerstreut. *ἡ δὲ τὸ μέγεθος καὶ τὴν χροίαν καταπλαγεῖσα ἀνήρπασεν, ἅμα διαποροῦσα, τίς ἄρα τοῦτο (τὸ μῆλον) τῶν παρθένων μετέωρος ἀπέβαλε τοῦ προκολπίου.* und *πολλάκις γὰρ μετέωρος ἐκ τοῦ πόθου ταῖς ἡμετέραις βολαῖς ἀντὶ τῶν ἐμῶν τὰς ἐκείνων διατίθημι ψήφους.* Aristaen. ep. I, 10 p. 42 und 23 p. 105.

μέχρι. *μ. πότε, εἶπον, χηρεύομεν τῶν τῆς Ἀφροδίτης ὀργίων;* Ach. Tat. 4, 1, 2.

μήτοι nach einem verb. des Hinderns, wie bei Soph. El. 518, *ἀπαγορεύω σοι τρεῖς περιόδους σελήνης μήτοι τῶν εἰς ἱερέα μηδὲν ἐνοχλεῖν.* Jul. ep. 62 p. 129.

μήτηρ. Mit Aesch. Pers. 614 vergl. noch *τῷ δὲ τοῦτο ἦν λύπη μείζων, ἢ εἰ νόσημά τι τῶν ὡρῶν τὰς ἐν τῇ γῇ διεφθάρκει Τυρίων οἴνου μητέρας αὐτῷ.* Liban. I, 158, 10.

Μίδας, genet. *Μίδα* bei Pseudodio Chrys. 37, 38.

μιμνήσκομαι, auch so gebraucht, dass dafür *προστάσσω* oder *κελεύω* stehen könnte. *τίς οὐχ ἡγήσεται ληρεῖν τὸν κήρυκα μεμνημένον ἡσυχίας*, d. h. der Herold, wenn er auf Ruhe dringt. Liban. I, 268, 8. — Für *μέμνησο μὴ γράφειν* auch *μέμνησο καὶ μὴ γράφε.* Luc. de conscr. h. 61. Vergl. was im Lexikon zu *ὄμνυμι* gegen Ende bemerkt ist.

μίσθαρνος. *ὅσοι μὴ ἀγοραῖοι μηδὲ μίσθαρνοι.* Dio Chrys. 22, 1.

μνήμη. *εἰς μνήμην ἄγειν*, an etwas erinnern. *ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει καὶ ὡς τὸ ὕδωρ τοὺς πίνοντας εἰς μνήμην ἄγει*

θαλάττης, ... οὐκ (ἂν) ἀρνηθείην. Julian. ep. 1 p. 4 und Polyb. 2, 35, 5. — *μνήμῃ κτᾶσθαι*, auswendig lernen. *ἓν ἕδρων μόνον, μνήμῃ τὰ τῶν παλαιῶν ἐκτώμην.* Liban. I, 9, 3.

μοιράω Z. 9 schreibe Alciph. 1, 25.

μορφή. μορφαὶ λόγων. λόγοι τε ὁπόσοι παρ' ἑκάστου καὶ οἵ τινες τὰς μορφάς. — ἤγχετο δὲ διαφερόντως τῷ τῶν ἐπιδείξεων ἀριθμῷ καὶ αὖ πάλιν τῷ ταῖς μορφαῖς διαφέρειν ἀλλήλων. — καὶ προσέτι γε τοὺς πολλοὺς λόγους περὶ μὲν τὴν αὐτὴν πεποιημένοι ὑπόθεσιν, μορφὴν ἄλλην ἄλλος ἔχων. Liban. I, 29, 2. 75, 12. 152, 4.

μυδών, Moder überhaupt. *δῆλον γάρ, ὅτι ἐνέπρησα τὸν νεὼ τοῦ Διός. καὶ τοὺς ἀνδριάντας ἐκ τοῦ μυδῶνος ἐρρυσάμην.* Dio Chrys. 47, 18.

μυροπωλεῖον. Ueber die Form vergl. Meineke zu Alciph. 3, 24: *μυροπωλίοις* posui ex optimis libris pro *μυροπωλείοις*, cujus formae certa exempla apud Atticos scriptores reperiuntur nulla.

Μυσός. Sprichwörtlich *οὐ Μυσῶν ἀνὴρ ἔσχατος, ἀλλ' οἷος φέρειν φιλοτιμίαν τοῖς εὖ ποιεῖν αὐτὸν ἐπισταμένοις.* Liban. I, 433, 18. Ebenso *Μυσῶν λεία. ἐπειδὴ ληστικὸν ἐν τῷ Ταύρῳ συνειστήκει καὶ Μυσῶν λείαν ἐποίει Κίλιξι τὰ πράγματα* etc. und *καὶ τὸ περικείμενον τοῖς Ῥωμαίων ὅροις Μυσῶν λείαν ἐπεποίητο τὰ τῇδε*, und *Μυσῶν λείαν ἐργάζονται τὰς εὐδαίμονας πόλεις.* Liban. I, 310, 22. 378, 13 und 533, 15.

νεῦμα. ὁ δὲ ἕτερος (nämlich *λόγος*) *ἦν ἑορτὴ νευόντων ἀλλήλοις ἀφανῶς τὰ τῆς ἡδονῆς νεύματα.* Liban. I, 466, 6.

νέφος met. für Kummer etc., auch bei Prosaikern. *ἦν δὲ ἄρα κἀκεῖνο Ἡρακλέους τὸ ἔργον, ὅς καὶ ἡμῖν τὸ νέφος ἀπέωσε. — πότ' οὖν ἢ διεκώλυσα γελῶντας ἢ νέφος ἐπήγαγον εὐφροσύνῃ;* Liban. I, 47, 11 und 178, 9 vergl. mit 259, 3.

νόημα. Mit. Od. 7, 36 vergl. noch die Stellen, welche Boisson. zu Aristaen. ep. 1, 5 p. 317 beigebracht hat.

νομίζειν. Das perf. oft in Präsensbedeutung bei Späteren, z. B. Dio Chrys. 3, 9 und 13. 31, 29 und 60 und oft. Dies ist auch bei noch andern Wörtern, z. B. *χράομαι*, der Fall. S. Cobet. var. lect. — *νομίζειν*, einen Gebrauch einführen. Vergl. *ὁ τοῦ λόγου νόμος ἐπὶ τὸν ὕπατον πρότερον ἄγει, πόθεν τε τὴν ἀρχὴν ἐνομίσθη* etc. Liban. I, 368, 4, wo *ὕπατος* für *ὑπατεία* steht.

νόμος. Mit *ἐν χειρῶν νόμῳ* vergl. noch *δι' ὧν ἤλπιζεν ἢ φόβῳ πάντα ἕξειν, ἢ νόμῳ χειρῶν.* Liban. I, 310, 3.

νόσος. Wie *νόσῳ λαμβάνεσθαι* auch *νόσῳ χρῆσθαι. οἱ μεγάλῃ μὲν νόσῳ χρησάμενοι, ταχὺ δ' ἀνασφήλαντες, ἐπειδὰν τύχωσιν ἱκανῆς τῆς μετὰ ταῦτα ἐπιμελείας, πολλάκις μᾶλλον εὐέκτησαν.* Dio Chrys. 34, 8.

νοσώδης 2) mit dem genet. *ὅσα δὲ αὖ μήτε ἀπρεπῆ τοῖς μετιοῦσι μοχθηρίαν τε μηδεμίαν ἐμποιοῦντα τῇ ψυχῇ μήτε νοσώδη τῶν τε ἄλλων νοσημάτων, καὶ δῆτα ἀσθενείας τε καὶ ὄκνου καὶ μαλακίας διὰ πολλὴν ἡσυχίαν ἐγγιγνομένης ἐν τῷ σώ-*

ματι, ... πάντα τὰ τοιαῦτα πράττοντες προθύμως καὶ φιλοφρόνως οὔποτ' ἂν ἐνδεεῖς ἔργου καὶ βίου γίγνοιντο. Dio Chrys. 7, 112.

νύμφη 1) Vergl. *τῆς δ' ἐν τούτοις βραδυτῆτος παρὰ τῶν ὁρώντων κατηγορουμένης, εἴποτε καὶ γνοῖεν εἰσελθεῖν, κατὰ τὰς νύμφας βαδίζουσιν* Liban. I, 199, 16, d. h. so schüchtern, wie Bräute. — *νύμφη* 2) Wasser, auch mit poet. Anstrich in Prosa. *αἵ γε μὴν πηγαὶ καὶ τὸ τούτων ἄφθονον ἡμέτερον ἀκριβῶς γνώρισμα καὶ οὐδεὶς οὕτω θρασὺς οὐδὲ ἐπὶ νύμφαις μεγαλοφρονῶν, ὅστις ἂν ὡς ἴσον ἐνταῦθα ἔχων παρρησιάσαιτο.* Liban. I, 283, 5.

ὁ ἡ τό. Für *τανῦν* oder *τὰ νῦν* findet sich verstärkt auch *τὰ νῦν δὴ ταῦτα.* Alciph. 3, 58 und 72.

οἰκοδομία = *οἰκοδόμησις* auch im plur. *οὐκ ἄρα μάτην ἐν οἰκοδομίαις ἡ πόλις ἀεί.* Liban. I, 347, 14.

οἰωνιστής in Prosa. *ὑπογραφεὺς μὲν ὁ οἰκέτης ἦν, οἰωνιστὴς δὲ ὁ δεσπότης.* Liban. I, 116, 6.

ὀλίγος 2) klein. Ueber diese Bedeutung bemerkt Meineke zu Alciph. 3, 43, 4: Ceterum *οὐκ ὀλίγαις* esse videtur non levibus, quae perrara est hujus adjectivi in numero plurali potestas nec cognita mihi nisi ex Homero Od. *μ'* 252 et fortasse Menippo apud Athenaeum XVI p. 664 e. — *πρὸς ὀλίγον*, wie *ἐπ' ὀλίγον*, ad breve tempus, nur viel seltener. Beispiele bei Alciph. 3, 39, 1. Long. past. 3, 4. Luc. Char. 4. gall. 23. Nigrin 23. Jul. or. I, 9 A.

* *Ὀλυνθία, ἡ*, das Gebiet von Olynth, bei Dio Chrys. 2, 79 und 47, 9, beidemal augenscheinlich in Stellen, die ein Scholiast beigeschrieben hat.

ὁμόδοξος 2) von gleichem Ruhme oder Rufe. Diese Bedeutung hat das Wort jedenfalls auch bei Dio Chrys. 31, 125.

ὅμορος. ἡ ὅμορος ohne *χώρα. Ἀρμένιοι παλαιοὶ σύμμαχοι στασιάζοντες καὶ μοῖρα σφῶν οὐ φαύλη Πέρσαις προσθέμενοι, τὴν ὅμορον σφίσι λῃσταῖς κατατρέχοντες.* Jul. or. 1, 19 A.

ὁπλήεις in der citirten Stelle gehört nicht zu *ὅπλον*, sondern zu *ὁπλή* und bedeutet also behuft, mit Hufen versehen.

ὅποι 2) wo. Vergl. *ἡ (τῇ ποιήσει) τὸν νοῦν προσέχειν ἄνδρα μάλιστα μὲν ἄρξειν μέλλοντα τῶν ὅποι ποτὲ ἀνθρώπων.* Dio Chrys. 2, 6 und 71.

ὀργή. Mit *ὀργὴν ποιεῖσθαι* vergl. *ἐπὶ τοῖς σφόδρα ἐκδήλους καὶ φανεροῖς μετρίας τὰς ὀργὰς ποιούμενοι.* Dio Chrys. 7, 142.

ὄρθριος. Wie *ὄρθριον* adv. auch *τὸ ὄρθριον.* Luc. gall. 1.

ὅριον ist auch das lat. horreum nach Reiske zu Liban. I, 428, 24: *καὶ οὐκ ἔστιν, ὅστις ἐπιδείξει τοῦτον οὐκ ἐπιμελητὴν ὁρίων, οὐκ ἄγγελον ὑπάτων* etc. Wozu Reiske bemerkt: sic exarabant illi Graeculi Latinum vocabulum horreum, nam hi curiosi, vel agentes in rebus, ut appellabantur, erant etiam frumentarii. v. Guther de officiis domus augustae.

ὅρκος. Zu *ὅρκον ποιεῖσθαι* tritt noch der acc. der Sache, die man beschwört. *διὰ δὴ ταῦτα ἀντ' ἐρωμένης τῷ βασιλεῖ καθέστηκεν ἡ πόλις καί, καθάπερ πατρίδος, ἀποδημῶν ἐπιστρέφει τε τὸν νοῦν πρὸς αὐτὴν καὶ τὴν ἐπάνοδον ὅρκον πεποίηται.* Liban. I, 332, 5.

ὅσος am Ende. *παρ' ὅσον* hat 2) auch die Bedeutung insofern als, quatenus, z. B. bei Luc. de conscr. h. 45: *καὶ ἡ μὲν γνώμη κοινωνείτω καὶ προσαπτέσθω τι καὶ ποιητικῆς, παρ' ὅσον μεγαληγόρος καὶ διηρμένη καὶ ἐκείνη, καὶ μάλισθ' ὁπόταν παρατάξεσι καὶ μάχαις καὶ ναυμαχίαις συμπλέκηται.*

οὐχ ὅτι, nedum, auch verstärkt *οὐχ ὅτι γε δή*. *ὅπου δὲ θεοὶ ἀγωνοτεθοῦσιν, ἡμίθεοι δὲ νικῶσι καὶ νικῶνται, ἀναπαύεται δὲ Ἀργώ, τίνα τούτου τόπον καλλίω ἐξευρεῖν ἐδύνατο αὐτὸς ὁ Δαίδαλος πτεροῖς πετόμενος, οὐχ ὅτι γε δὴ τὸ Δαιδάλου ποίημα;* Pseudodio Chrys. 37, 15.

οὐδείς. Für *ἤ τις ἢ οὐδείς*, einer oder keiner, sehr wenige, findet sich auch *οὐδεὶς ἢ εἷς. οὐδὲ εἶπον ὑπὲρ οὐδενὸς ἢ ἑνὸς ανθρώπου δυστυχοῦς, ὃν ἐκώλυσα ὑπὸ τῶν συγγενῶν καὶ τῶν ἐπιτρόπων διασπασθῆναι.* Dio Chrys. 43, 6.

ὀφείλω. ὀφείλει impers. oportet, wie bei Pind. auch bei Liban. I, 433, 13: *μάλιστα μὲν ὤφειλεν οἷόν τε εἶναι περὶ πάντων αὐτὸν καὶ πυνθάνεσθαι καὶ βουλεύεσθαι καὶ κινεῖν τὰ μὴ καλῶς ἔχοντα.*

ὀφθαλμός. Wie *ἐν ὀφθαλμοῖς ἔχειν* auch *ἐν ὀ. τίθεσθαι. ἐγὼ δὲ ἀνηνάμην ἅμα μὲν τὰ νεογνὰ παιδία κατοικτείρουσα, ἅμα δὲ τὸν ἥρω Φαιδρίαν ἐν ὀφθαλμοῖς τιθεμένη.* Alciph. 3, 37, 2.

ὀφρύς. Wie *τὰς ὀφρῦς καταβάλλειν* etc. auch noch *καταφέρειν. χρήμασί τε αὐτοὺς διαλλάξας τὴν πολιορκίαν ἔλυσε τὰς ὀφρῦς ἐκείνας κατενεγκών.* Liban. I, 163, 9.

παιδιά. Wie *μετὰ παιδιᾶς* und *ἐν παιδιᾷ* etc. auch *ἀντὶ παιδιᾶς. σκύτεσι καὶ τοῖς ἄλλοις ἱμᾶσιν ἀντὶ παιδιᾶς πλήττοντες.* Alciph. 3, 51, 3.

πάλαισμα. Die Stelle bei Plat. Euthyd. p. 277 C enthält die auch von Späteren oft angewendete sprichwörtliche Redensart *ἐπὶ τὸ τρίτον πάλαισμα.*

παλίμβολος mit *παλίμπρατος* verbunden. *ἀλλὰ τοὺς μὲν καπήλους τοὺς ἐν τοῖς μέτροις κακουργοῦντας, οἷς ὁ βίος ἐστὶν αὐτόθεν ἀπὸ αἰσχροκερδείας, μισεῖτε καὶ κολάζετε· τὴν δὲ πόλιν, εἰ δόξει περὶ τοὺς ἐπαίνους τῶν ἀγαθῶν ἀνδρῶν πανουργεῖν καὶ τὰς δωρεὰς καπηλεύειν, οὐκ αἰσχύνεσθε παλίμβολα καὶ παλίμπρατα ποιοῦσαν τὰ σεμνά;* Dio Chrys. 31, 37.

πάναισχρος. Bei Dio Chrys. 31, 35 liest aber Emperius *πᾶν αἰσχρόν.*

παρά. S. 668 Col. 1 gegen Ende ist zu bemerken, dass *παρ' ὅσον* bei Luc. de conscr. h. 18 nicht die Bedeutung hat: in wie fern, sondern: nur mit dem Unterschiede, dass. *παρὰ πόσον*, in wie weit? wie *πόσῳ* auch mit dem Compar. *παρὰ πόσον μὲν γὰρ ἔσομαι γυμνότερος τοῦ νῦν, πόσῳ δὲ ἀοικότερος;* Dio Chrys. 6, 62. — Wie *παρ' ἐνιαυτόν* bei Plut., auch *παρ' ἔτος.* Dio Chrys. 35, 15.

παράδειγμα 3) Vergl. auch *καὶ ὅσοι τὰς ἱστορίας ἐξέδοσαν ἐπὶ παραδείγματι αὐτῶν τῶν ἔργων ἀπέδειξαν αὐτὴν* (nämlich *ὁμόνοιαν*) *μεγίστην οὖσαν τῶν ἀνθρωπείων ἀγαθῶν.* Dio Chrys. 38, 10.

παρακινέω. Die Stelle Luc. de h. conscr. gehört zu dem intransitiven Gebrauche des Wortes.

παραπολύ mit dem genet. *πρὸς γὰρ τῷ πατρῴῳ πλούτῳ καὶ ὁ μητρῷος αὐτῷ πλοῦτος οὐ παρὰ πολὺ τούτου ἐπερρύη*, maternae quoque opes ei non multo illis inferiores affluxerunt. — *ἀξιούσθω δὲ λόγου καὶ τὸ ὑπωρόφιον θέατρον, ὃ ἐδείματο Κορινθίοις, παρὰ πολὺ μὲν τοῦ Ἀθήνησιν, ἐν ὀλίγοις δὲ τῶν παρ' ἄλλοις ἐπαινουμένων.* — *ταῦτά φησιν ὁ Πρωτεσίλεως οὐ παρὰ πολὺ τῆς ἀληθείας εἰρῆσθαι.* Phil. v. soph. 2, 1, 3 und 9. her. 6, 2. Ferner bei Luc. im. 23 und Athen. 6, 257.

παραχωρεῖν, den Vorrang zugestehen, auch bei Dio, dem Vorbilde des Synesius. *οὗτος μέντοι Ἰατροκλῆς, ὁ τοῦ Μελαγκόμα ἀνταγωνιστὴς καὶ μόνῳ ἐκείνῳ οὐκ ἀξιῶν παραχωρεῖν.* — *οὐχ ὁρᾷς ἐκεῖνον τὸν παραχωρήσαντα πρὸ σοῦ μαστιγούμενον;* Dio Chrys. 28, 4. 31, 119.

πάρειμι. Wie *ἐν τῷ παρόντι*, in der Gegenwart, auch *ἐπὶ τοῦ παρόντος.* Julian. or. I, 2 C und 6 C.

παρέρχομαι, übertreffen. Vergl. *ἥδ' ἐστὶν ἡ παρελθοῦσα τὴν χρείαν τῇ περιουσίᾳ*, d. h. das ist die Stadt, welche noch mehr bot, als nöthig war. Liban. I, 331, 3.

πάσσαλος. εἶναι ἐν πασσάλοις, met. für ruhen, nicht angewendet werden. *τοῦτον δὴ τὸν χρόνον τὰ μὲν τῶν εἰωθότων ἡμῖν πολεμεῖν τόξα ἦν ἐν παττάλοις.* Liban. I, 159, 15.

πάσχω. Das perfect. augenscheinlich mit Präsensbedeutung oft bei Späteren z. B. Dio Chrys. 33, 7. 31, 44. 50, 3.

* *πατρόβουλος*, ein Rathsherr, dessen Vater es auch schon war. Jul. ep. 11. Dies scheint die richtige Lesart für das *πατρόβολος* der Handschriften und besser, als Petaus Vermuthung *πατρόβωλος.*

πεῖρα in besonderer Beziehung: a. Hier ist die Stelle Heliod. 7, 20 zu streichen.

Πειραιεύς. Ueber die Form *Πειραιεῖ*, im P., vergl. Cobet var. lect. p. 57.

περιγίγνομαι τῇ δίκῃ, den Process gewinnen. *ἐψηφίσαντο οὖν τοὺς τῶν τυράννων ἀνδριάντας συγκόψαι, ὅστις ἄξιος αὐτῶν καταχωνευθῆναι καὶ ὅστις οὔ. καὶ περιγίγνεται τῇ δίκῃ Γέλων ὁ Δεινομένους.* Pseudodio Chrys. 37, 21.

περιγραπτός. Zur Verbindung mit *ὅρος* vergl. noch: *μόνος δὲ οὗτος ἐκολάζετο περιγραπτοῖς ὅροις, ὧν ἐκτὸς οὐκ ἦν κινεῖσθαι.* Liban. I, 430, 10.

περιέπειν. Zeugniss für die eigentliche Bedeutung: von allen Seiten um etwas herum sein: *τοῦ ταύρου δὲ ἐσφαγμένου καὶ δεδεγμένων τῶν βωμῶν ὁπόσα νόμος, ἤδη μὲν τὸ πῦρ περιεῖπε τὰ κείμενα καὶ σφόδρα ἀνεκάετο.* Liban. I, 299, 23.

περίεργος bedeutet auch soviel als *μάγος*, wie im lat. curiosus. *ὁ γὰρ ἄνθρωπος οὐχ ὡς προαγωγὸς τῷ ποθοῦντι προσῆλθεν, ἀλλά τις εἶναι τῶν περιέργων ἐδόκει·*

καὶ πολλὰ τερατευσάμενος ἐπηγγείλατο μόνος αὐτὴν δαιμονίως καταδουλῶσαι τῷ νέῳ. Aristaen. 2, 18 p. 181 und daselbst Boisson. p. 711.

πέριξ steht seinem Casus seltener nach, als vor. S. Bernhardy paral. synt. Graecae 1862.

περίπατος τῆς Ἑλλάδος heisst Korinth, als die besuchteste Stadt Griechenlands. *ἀνδριάντος οὐκ ἔτυχεν· οὐ δήπου καταφρονῶν ἀνδριάντος, ἀλλὰ καὶ τὸ ἐν Σαλαμῖνι χαλκοῦς ἑστάναι μέγα ποιούμενος· πόθεν γε δὴ οὐχὶ ἐν Κορίνθῳ ἐν τῷ περιπάτῳ τῆς Ἑλλάδος;* Pseudodio Chrys. 37, 5.

περιρρήγνυσθαί τινι, an etwas zerschellen. Figürl. *πάλαι τοῦ γένους ἄνευ τῶν μεγάλων κυβερνητῶν εἰκῇ φερομένου καὶ περιρρηγνυμένου ταῖς πέτραις.* Liban. I, 420, 6 und *περιρρηγνυμένων τοῖς προβόλοις τῶν πλοίων.* Id, I, 232, 11.

πέτομαι. Dass der aor. *ἔπτην* nicht ausschliesslich poetisch sei, zeigt Charit. 8, 2, 11: *οὐ δή που γὰρ ἀναπτῆναι δυνάμεθα.* Sprichwörtliche Redensart: *γεγόνασι δ' οὗτοι μὲν ἐξ ἐνδόξων ἄδοξοι καὶ ἐξ εὐπόρων ἄποροι· ἐκεῖνοι δὲ τοὐναντίον ἐν δόξῃ καὶ πλούτῳ καὶ δυνάμει, ὧν τοσοῦτον ἀπεῖχον ταῖς ἐλπίσιν, ὅσονπερ τοῦ πτήσεσθαι.* Liban. I, 180, 16.

πευθήν auch bei Liban. I, 217, 6.

πήλινος zweier Endungen. *καὶ μὴν εἴ τις ὑμῶν πύθοιτο, εἰ καὶ δόξει γελοιότερον, τί δήποτ' οὐθ' ὑμεῖς οὔτ' ἄλλος οὐδεὶς πηλίνους ποιεῖσθαι τὰς εἰκόνας* etc. Dio Chrys. 31, 152.

πίθος. Ueber die zahlreichen Vergleichungen, die mit diesem Worte gemacht werden, s. Baguet zu Dio Chrys. 8, 136 C.: Comparatio pariter a dolio desumitur or. 36 p. 452 d. et 47 p. 528 b. De dolio autem, frequenti antiquorum usu, ad significandos homines tralato tam copiosa est et exquisita annotatio H. Boschii ad Anthol. Graec. observatt. T. I. p. 266, ut eo amandare satius ducam, quam ipsos Veterum locos hic apponere.

πικρός vom Geruche, durchdringend, scharf. Daher *γῦπα πικρὸν ὀδωδότα.* Alciph. 3, 59, 4.

πλάσμα. Vergl *οὐ μὴν εὐθὺς ἡ πόλις μεγάλη καὶ πολυάνθρωπος. οὕτω γάρ, οἶμαι, συμφέρον, ἀλλ' ἀνέμενεν ἡ ταύτης αὔξησις τὸν ἀμείνω χρόνον. τέως δὲ ἐν βραχυτέρῳ διῆγε πλάσματι μένουσα ἐλάττων, ἡνίκα οὐ βέλτιον εἶναι μείζω.* Liban. I, 295, 4.

πλέω. *τὸ πεπλευσμένον* für *ὁ πλοῦς ὁ πεπλευσμένος. εἰ δὲ ἀλίμενα πάντα ἦν καὶ οὐκ ἦν τὸ δεξόμενον, ἄκαρπον ἂν ἦν τὸ πεπλευσμένον.* Liban. I, 232, 11.

πλησμονή, hinreichender Ueberfluss, auch bei Alciph. 3, 50. Vergl. Meineke zu der Stelle.

πλήσσω. Wie *πλήξασθαι τὴν κεφαλὴν* auch *πλήσσειν τὸ μέτωπον. ἀλλ' ὅμως ἀκούσας τῆς συμβολῆς τὸ πέρας τὸ μέτωπον ἔπληξα.* Liban. I, 189, 9.

ποιῶ. Zu den mit dem med. gebildeten Redensarten füge noch: *οὐ γὰρ ἀνήκοος δήπου τυγχάνεις περὶ τοῖν ἀνδροῖν· τὸν μέν, ὅτι ναυμαχεῖν Ἀθηναίους ἠνάγκασε, πεζοὺς πρότερον ὄντας καὶ τὴν χώραν καὶ τὴν πόλιν προεμένους τοῖς βαρβάροις*

καὶ θεῶν ἱερὰ καὶ τάφους προγόνων ἐν ταῖς ναυσὶ ποιήσασθαι πάντα τὰ σφέτερα πράγματα. Dio Chrys. 25, 4, und: πάλιν δὲ ὕστερον ἐμοῦ τὸ πρᾶγμα ἐφ' ὑμῖν ποιουμένου, d. h. als ich die Sache euch anheim gab. Dio Chrys. 40, 6. — Wie παρ' ὀλίγον ποιεῖσθαι auch παρὰ φαῦλον ποιεῖσθαι. ὡς δ' οὐκ ἔστι σοι παρὰ φαῦλον τὰ τοῦδε ποιήσασθαι, γνῶναι ῥᾴδιον. Liban. I, 433, 19.

ποίημα so viel wie δρᾶμα, dramatische Vorstellung. καίτοι ταῦτα πάντα καλοῦνται καὶ Μενέλαοι καὶ Ἀγαμέμνονες, καὶ οὐκ ὀνόματα μόνον ἔχουσι θεῶν καὶ ἡρώων, ἀλλὰ καὶ πρόσωπα καὶ στολὰς καὶ κελεύουσι πολλὰ, ὡς ἐκεῖνοι· τοῦ δὲ ποιήματος συντελεσθέντος ἀπίασι τὸ μηδὲν ὄντες. Dio Chrys. 38, 40.

* ποικιλοκαρόμορφος. Γόττοι ποικιλοκαρόμορφοι, Gothi variis in capite formis. Julian. ep. 77 p. 146.

ποίμνιον, figürl. wie im N. T. ὅτε φόβος ἠνάγκαζε πατέρας τοὺς αὑτῶν καλεῖν παρ' ἑαυτοὺς, ὥσπερ ἐκ πυρός, οἱ μὲν δὴ ἤκουον, μεῖον δὲ ἐμοὶ τὸ ποίμνιον sagt Liban. I, 142, 16 von seinen Schülern.

πολιτογραφεῖν scheint bei Dio Chrys. auf eine geringere Klasse von Bürgern in Tarsus zu gehen. εἰ δέ τις πένης ὢν ἢ πολιτογραφοῦντος (πολιτογραφηθέντος?) οὐ μετείληφε τοῦ ὀνόματος, οὐχ οἷός ἐστιν ἀγαπᾶν τὴν πόλιν οὐδ' ἡγεῖσθαι πατρίδα. 34, 23.

πολυμάχητος, sehr streitig, ist selbst ein sehr streitiges Wort, denn Cobet var. lect. 216 will dafür περιμάχητος gelesen wissen.

πολύς. Vergl. noch πολλῷ τῷ ὀφθαλμῷ βλέπει Aristaen. 1, 27 p. 118 und die Anmerkung Boissonades zu dieser Stelle, namentlich wegen der Parallelstelle aus Heliod. 6, 4: ἐπὶ τὴν Ἰσιάδα σπευστέον, ἥ πού με νῦν πολλοῖς τοῖς ὀφθαλμοῖς περισκοπεῖ. — Wie mit χώρα πεδίον πέλαγος wird π. auch mit πόλις verbunden: ἀλλ' ἥδε ἡ πόλις, ἡ πολλὴ, Σκυθῶν ἂν ἐγεγόνει. Liban. I, 235, 18. — πρὸ πολλοῦ, weit vor, auch von der Zeit gebraucht: οὑτοσὶ γὰρ ὁ νῦν σοι ἀλεκτρυὼν φαινόμενος οὐ πρὸ πολλοῦ ἄνθρωπος ἦν. Luc. gall. 3.

πορφύρα. Ueber das Sprichwort ἡ πορφύρα παρὰ πορφύραν διακριτέα hat noch gehandelt A. G. Lange opusc. p. 129.

πορφύρειος auch bei Aristaen. 1, 1 p. 6: ἴδοις ἂν τὴν Πειθὼ τοῖς πορφυρείοις αὐτῆς χείλεσιν ἐπικαθημένην.

ποτέ. Unter den disjunctiven Verbindungen fehlt ποτὲ μὲν — ὁτὲ δέ. εἶτα ποτὲ μὲν ἐσχίζοντο καὶ οἱ μὲν ἄνδρες ἐπῄνουν Χαιρέαν, αἱ δὲ γυναῖκες Καλιρρόην, ὁτὲ δ' αὖ πάλιν ἀμφοτέρους κοινῇ. Charit. 8, 7, 2.

πρᾶγμα als Umschreibung von Personen und Sachen. Vergl. noch: ἐγὼ δὲ ἤσθην μὲν κατὰ τὸν Κρῆτα ἐκεῖνον ἐπὶ τὴν κατέχουσαν τὰ πράγματα τῶν λόγων νόσον καλούμενος. Liban. I, 60, 3, wozu Reiske bemerkt: latinismus est, rem literarum.

πραΰς. ἡ πρᾶος findet sich noch bei Dio Chrys. 1, 20: ταῦτ' οὖν εἰδὼς καὶ φύσει τοιοῦτος ὢν ἵλεων καὶ πρᾶον παρέχει τὴν ψυχὴν πᾶσιν.

πρέσβυς. *πρεσβύτερος* auch mit dem Zusatze *τῇ ἡλικίᾳ* oder *τὴν ἡλ.* bei Dio Chrys. jenes 1, 53, dieses 47, 24.

* *προαποφέρειν*, vorher wegraffen. *τούτους τοίνυν τοὺς πάλαι μὲν πολεμοῦντας, ἐγκαλεῖν δὲ οὐδὲν σὺν ἀληθείᾳ γε ἔχοντας προαπήνεγκεν ὁ δαίμων.* Liban. I, 99, 2.

προβάλλω. Die demosthenische Redensart *προβάλλεσθαι ἀγαθὴν ἐλπίδα* wird auch nachgeahmt von Heliod. aeth. 6, 4 und Charit. 7, 3, 4. Aehnlich heisst es in einem wohl unächten Briefe bei Julian. ep. 74 p. 146 *εὐλάβειαν μὲν λέγων ἐνδεδύσθαι, ἀναίδειαν δὲ προβαλλόμενος.*

προερευνάω auch bei Dio Chrys. 6, 39: *ὑφορᾶσθαι δὲ καὶ τὰ σιτία καὶ τὸ ποτὸν καὶ τοὺς προπειράσοντας ταῦτα ἔχειν, ὥσπερ ἐν ὁδῷ πολεμίων γεμούσῃ τοὺς προερευνῶντας.*

προήκω. Wie *προήκων καθ' ἡλικίαν* auch *πρ. τὴν ἡλικίαν. τὸ μὲν σῶμα ἐνδεής, τὴν δὲ ἡλικίαν προήκων.* Dio Chrys. 12, 20.

πρόκειμαι, ausgesetzt, preisgegeben sein, auch mit dem infin. *οἱ γὰρ οὐκ ἔχοντες λόγῳ τῶν δικαίων τυγχάνειν, ἀδικεῖσθαι πρόκεινται.* Liban. I, 318, 5.

προλυπέω. Das passiv. auch mit dem genet. *πάντα (τὰ θέατρα) ἐν μέσῃ τῇ πόλει· καὶ οὐκ ἀναγκάζονται προλυπηθῆναι τῶν ἡδέων τῷ μήκει τῆς ἐπ' αὐτὰ πορείας.* Liban. I, 345, 8.

προοίμιον, figürl. für Anfang: *τοῦτο καὶ εἰς ῥίζας ἤγαγε τὴν συμφορὰν ἐκβληθεῖσαν ἄν, ὥς φασιν ἐν προοιμίοις οὐ σὺν πόνῳ.* Liban. I, 10, 8, d. h. das machte das Uebel erst recht schlimm, das sonst in den ersten Anfängen sich hätte unterdrücken lassen.

πρός c. c, im Vergleich mit, gegen etwas gehalten. Vergl. noch *ἀλλ' οὐ πρὸς ὅλην Ἰλιάδα καὶ Ὀδύσσειαν ταῦτα τὰ ἔπη ἐστὶ τοῖς μὴ παρέργως ἀκροωμένοις*; ist dieses Gedicht nicht so viel werth, wie die ganze Iliade und Odyssee? Dio Chrys. 36, 13.

προσαγορεύω τινά heisst auch sich von jemand verabschieden. *οἱ μὲν ἄσωτοι καὶ ἀκρατεῖς ὑπὸ τῶν ἀκρλουθούντων ἕλκονται ..... οἱ δὲ ὀρθοί τε καὶ ἀσφαλῶς τοῖς ἑαυτῶν ποσὶν ἀπίασι προσαγορεύσαντες τοὺς φίλους.* Dio Chrys. 30, 43.

προσάγω c. dazunehmen, anwenden. Vergl. noch *κοινὸν μὲν οὖν τῶν ἐγκωμιαζόντων ἔθος λείπεσθαι φάσκειν τὴν αὐτῶν ἀσθένειαν τοῦ μεγέθους τῶν ἔργων οἷς προσάγουσι τὸν λόγον*, zurückbleibe hinter der Bedeutsamkeit der Dinge, die sie besprechen wollen. Liban. I, 276, 17.

προσδιορίζω. Vergl. noch *διὰ τί οὖν, ὅταν με βαρὺν καλῶσιν, οὐ προσδιορίζουσι μικρόν γέ τι προστιθέντες, τὸ σφίσιν.* Liban. I, 181, 3.

προσεμματεύω. Bei Aristaen. 2, 22 aber liest Boissonade *προσεμβατεύοντα.*

προσέχω τινί, an jemandem haften, bei ihm dauern, auch bei Jul. or. 47, b.: *ἀνθῆσαι μὲν γὰρ τῇ τύχῃ προσσχόντα πρὸς βραχὺ ῥᾴδιον· διαφυλάξαι δὲ τὰ δοθέντα ἀγαθὰ δίχα φρονήσεως οὐ λίαν εὔκολον.*

προσιζάνω. In der Stelle Luc. conscr. h. 10 wird gelesen *ἀφεστῶσα ἐσθῆς καὶ μὴ προσιζάνουσα.*

προσπαίζω. Bei Alciph. 3, 65 schreibt Meineke für *προσπαῖσαι* vielmehr *προσπαίζειν.*

προσποιοῦμαι. *οὐ προσποιοῦμαι*, sich stellen, als ob etwas nicht sei, auch mit dem infin. *ἐκεῖνος μὲν οὖν ὑπὸ μεγαλοφροσύνης οὐ προσεποιεῖτο ἀκηκοέναι τοῦ σκώμματος.* Luc. gall. 10.

προϋλακτεῖν. Für dieses Wort liest Meineke bei Alciph. 3, 62 *προφυλακτεῖν.*

πτηνός. Vergl. noch *ὁ δὲ αὐτοὺς διεπεφεύγει πτηνῷ τάχει.* Liban. I, 115, 7.

πύλη. Wie *Ἅιδου πύλαι* auch *τοῦ θανάτου πύλαι. παρὰ τῆς Ἀρτέμιδος, ἥ με ἐξ αὐτῶν τῶν τοῦ θανάτου πυλῶν ἐρρύσατο.* Liban. I, 225, 3.

ῥᾳθυμέω. Das perf. pass. *βάδισμα εὔσχημον, ἀμπεχόνη δὲ οὐκ ἐρραθυμημένη.* Liban. I, 322, 19.

ῥαπίζω auch als Zeichen der Freilassung. *Ἴθι δὴ νέμε τὴν ἐλευθερίαν πᾶσί τε χρηστοῖς καὶ βελτίστοις οἰκέταις, οὓς τοσοῦτον τῶν ἐπ' ἐλευθερίᾳ ῥαπισθέντων εὐδαιμονεστέρους θετέον, ὅσον ἐκείνους τῶν ἐντελευτησάντων τῇ δουλείᾳ.* Liban. I, 403, 10.

ῥήγνυμι. *ῥηγνύναι φωνήν*, einen Laut von sich geben, auch Charit. 1, 8, 3: *ἔρρηξεν οὖν φωνήν, ὅσην ἐδύνατο.*

ῥήτωρ. *ῥήτωρ λόγος* steht verbunden im Corp. inscr. 666 v. 7.

ῥίζα. *εἰς ῥίζας ἄγειν*, etwas (schlimmes) erst recht schlimm machen. *τοῦτο καὶ εἰς ῥίζας ἤγαγε τὴν συμφοράν.* Liban. I, 10, 6.

ῥίπτω 2 c. mit dem Begriffe der Verachtung, daher mit *εἰς ἀμέλειαν* verbunden. *τὸ χρῆμα τῶν λόγων, ὃ νοῦν πόλεως ἄξιον προσειπεῖν, εἰς ἀμέλειαν ἐρριμμένον.* Liban. I, 332, 14.

* *Ρυχομήρης*, nom. prop. eines Mannes. Liban. I, 136, 11.

ἐρρωμένος. Für *ἐρρωμενέστερος* steht *μᾶλλον ἐ.* bei Lys. 24, 7: *νεωτέρῳ καὶ μᾶλλον ἐρρωμένῳ.*

* *Σαγάδαρες*, *οἱ*, nom. prop. einer Völkerschaft. Jul. ep. 77 p. 146.

σαθρός. Mit *ἡ κολακεία σαθρὸν ὑπηχεῖ* vergl. *οὐ μέντοι παρ' ἡμῖν τυχὸν οὐδείς ἐστι κηφὴν ἀργὸς βομβῶν σαθρόν.* Dio Chrys. 48, 16.

σθένος bildet die Umschreibung auch in der späteren Prosa: *σοφιστοῦ σθένος.* Liban. I, 176, 3.

σιγηλός. Bei Alciph. 3, 58 betont Meineke *Σιγήλου.*

* *Σειμαριστός* als Bezeichnung für eine alexandrinische Faction bei Dio Chrys. 32, 70: *Σειμαριστοὶ καὶ τοιαῦτ' ἕτερα ἑταιρειῶν ὀνόματα.*

σκηνή. *ὑπὸ σκηνῆς*, hinter der Bühne, d. h. heimlich: *οὐ γὰρ ἡγοῦμαι πρέπειν ἀποκαλύψαι καὶ διαφωτίσαι ...... τὸν ὑπὸ σκηνῆς ἑκάστου βίον.* Luc. Icar. 21. *τὸ ὑπὸ σκηνῆς ἀποθνήσκειν ἐπενόησεν, ὡς μὴ ἐν φανερῷ σφάττοι.* Philostr. v. Ap. 6, 11.

σκληραγωγέω. Das perf. pass. bei Diog. Laert. 7, 173.

σκοπιωρός. Dafür schreibt bei Alciph. 1, 17 Meineke σκοπιοῦρος.

σοβεῖν 2) mit γαμεῖν verbunden. σοβοῦσι δὲ οἱ ξένοι καὶ γαμοῦσιν, ἡμεῖς δὲ ὁρῶμεν καὶ συνδειπνοῦμεν etc. Liban. I, 183, 12.

σπάνις, Armuth, Dürftigkeit, auch bei Dio Chrys. 4, 104: τάχυ μάλα ἐξαναλώσαντα τὰ παρόντα, πένητα ἀκρατῆ καὶ ἀκόλαστον ἐν σπάνει καὶ ἱμέρῳ.

σπερμολογία. Vergl. σκώμματα καὶ πολλὴν σπερμαλογίαν συνείροντες καὶ τὰς ἀγοραίας ταύτας ἀποκρίσεις. Dio Chrys. 32, 9. Hier also in der Bedeutung Geschwätz.

σπινθήρ. Vergl. τὸν σπινθῆρα προήγαγεν εἰς φλόγα, den Funken des Neides fachte er zu Flammen an. Liban. I, 385, 13 und σπινθὴρ μαντικῆς, ein schwacher Rest von Wahrsagekunst. I, 408, 3.

στοῖχος. στοῖχος τῶν ὠνίων, scheint eine Budenreihe zu sein, in der die Lebensmittel auf dem Markte aufgestellt sind. γνοίη δ' ἄν τις ὡδὶ τὸ τῆς ἀγορᾶς ὑπερβάλλον· αἱ πόλεις, ὅσας ἴσμεν ἐπὶ πλούτῳ μάλιστα φρονούσας, ἕνα στοῖχον τῶν ὠνίων δεικνύουσι, τὸν τῶν οἰκημάτων προκείμενον, ἐν δὲ τοῖς μέσοις τῶν κιόνων ἐργάζεται οὐδείς. Liban. I, 358, 6.

στόμα. Wie ἀπὸ στόματος εἰπεῖν auch εἰδέναι ἀπὸ στόματος, auswendig wissen. καὶ τἆλλα οὐκέτι σαφῶς ἑλληνίζοντες ὅμως τήν γε Ἰλιάδα ὀλίγου πάντες ἴσασιν ἀπὸ στόματος. Dio Chrys. 36, 9.

* στράγαλος = ἀστράγαλος bei Schol. Arist. de part. an. 651, 25. Vergl. * ἀλέαντος.

συγγίγνομαι. Zu ξυγγίγνεσθαι ὑδροποσίᾳ vergl. noch Meineke zu Alciph. 3, 45: similiter συγγίγνεσθαι φάγροις et similia dicuntur a comicis poetis. v. Fragm. Com. II, p. 88 et 438.

συκῆ auch in der Bedeutung von σῦκον 3) bei Alciph. frag. 6, 2.

συλλέγω. Mit σ. ἀλγήματα vergl. παιδίον .. συλλέξαν νόσον θνήσκει. Liban. I, 120, 7.

συμβαίνω. Zu συμβὰν δὲ ἰδεῖν Synes. ep. 66 vergl. noch, was Boissonade Aristaen. p. 495 über die Formel συμβὰν οὕτως beibringt.

σύν. Ueber σύν mit dem genet. s. Nauck. im neuen rhein. Museum 6, 442.

συνακολουθέω, von der Materie, leicht formbar sein. κηρὸς ῥᾷστα ξυνακολουθῶν τῇ τέχνῃ. Dio Chrys. 12, 44.

συναπέρχομαι, mitsterben, auch bei Dio Chrys. 28, 13: ὅστις τοῖς μεγίστοις ἀγαθοῖς συναπέρχεται τὰ ἄριστα πράξας, οὗτος εὐδαιμονέστατα τελευτᾷ.

συνάπτειν κῆδος auch in Prosa. τὸ τὸν ἄρχοντα νήσου τοσαύτης τὸ κῆδος ἀσμένως συνάψασθαι. Liban. I, 290, 3. Auch in der Redensart συνάπτειν κακὰ κακοῖς ahmt derselbe Schriftsteller den Euripides nach: πολέμους πολέμοις ἀπνευστὶ συνάπτει. I, 332, 7.

συνδιατίθημί τί τινι, etwas zu etwas passend machen. σχῆμα καλόν τε καὶ περίμετρον καὶ τῷ τύπῳ συνδιατιθέμενον τῶν μελῶν. Aristaen. ep. 1, 1 p. 5. Und

dazu Bast. bei Boiss. p. 225: exempla alia quaedam, in quibus patescit vis verbi *συνδιατίθεμαι*, s. D. Schotto in Adpend. ad H. Steph. suppleti, Abresch. coacervavit ex Greg. Palama Decl. I, p. 20; Synes. de Ins. p. 150 A. et Epist. 67 p. 213 ult.; Basil. 1 p. 61 A.

συνείρω. Wie *δίκας δίκαις συνείρειν* bei Zenobius auch *δεῖπνα δείπνοις σ.* bei Liban. I, 16, 11.

συνθήκη. Ganz ähnlich wie bei Phot. bibl. p. 127, 12 *λέξις καὶ διάνοια καὶ συνθήκη* heisst es bei Julian. ep. 14: *ὦ λέξις, ὦ ἁρμονία, ὦ συνθήκη.*

συντάσσω. *μακρόν τι καὶ συντεταγμένον ὄναρ.* Dio Chrys. 20, 22.

συστέλλω. *αὐχμηρὸς καὶ συνεσταλμένος. ὅταν αὐχμηρόν τινα καὶ συνεσταλμένον ἴδητε* etc. Dio Chrys. 32, 14.

συχνός vom Raume. *συχνήν* (scil. *ὁδόν*). *προεληλυθὼς δὲ συχνὴν ἀνθρώπων μὲν οὐδένα ἑώρων.* Dio Chrys. 7, 3.

σφοδρότης, acumen ingenii. *εἰ δὲ καὶ σὺ πρὸς αὐτὴν ἀπορεῖς δυσξύμβολον οὖσαν, μὴ κατόκνει, φίλτατε, πυθέσθαι τῆς σῆς σφοδρότητος.* Aristaen. ep. 1, 28 p. 122 und dazu s. Bast. p. 605.

σφύζω. Es fehlt die Nebenform *σφύττω* bei Dio Chrys. 4, 116: *οὐκοῦν μετὰ τοῦτον ὁ λόγος ὥσπερ ἐν ἀγῶνι σφύττει τρίτον εἰσάγειν, ὡς ἐκεῖ χορὸν, τὸν φιλότιμον.*

σχῆμα, Haltung, Stellung. Vergl. *μένουσι μέντοι οὗτοι πάντες κατὰ σχῆμα καὶ κατὰ χώραν.* Pseudodio Chrys. 37, 10. — *ἐν σχήματι* auch mit Personen verbunden, z. B. *ἐν γαμετῆς σχήματι.* Alciph. 3, 64, 4.

ταινία. Die Stelle Dio Chrys. 1, 190 gehört zur Bedeutung Sandbank.

ταράξιππος hat bei Dio Chrys. 1, 691 nicht die Bedeutung Rossetummler, wie aus den gleich folgenden Worten des Dio selbst, verglichen mit Paus. 6, 20, 18, hervorgeht.

ταχύς. *θᾶττον* und *τάχιον* stehen in der Bedeutung von *πρότερον* bei Dio Chrys. 31, 30. 31. 33. Die Vermittelung bildet *ταχύ* in der Bedeutung bald. Andere Stellen kann ich bis jetzt nicht beibringen. Es scheint eine Eigenthümlichkeit des Dio, wie eine solche auch unter *φαίνω* bemerkt ist.

τείνω. Zu *τείνειν ἐπί τινος* ist angeführt Luc. Icarom. 22. Dort aber steht *πρὸς τὸ ἄναντες ἔτεινον.*

τελέω e. von räumlichen und zeitlichen Dimensionen. Zu vergleichen ist noch *αὐτὰ δὲ τὰ βασίλεια κατείληφε μὲν τῆς νήσου τοσοῦτον, ὥστε εἰς τέταρτον μέρος τῆς ὅλης τελεῖν.* Liban. I, 340, 13.

τέμνειν πέλαγος hat, wie die Dichter, auch die spätere Prosa. *ναυτῶν τε καὶ ἐμπόρων τεμνόντων τε ὁμοῦ τὰ πελάγη καὶ ἑορταζόντων.* Liban. I, 257, 12.

τέρψις. *ἡ ἐν οἴνῳ τέρψις.* Dio Chrys. 32, 58.

τετράχειρ. *ἐν Ἀπόλλωνος τετράχειρι ἀγάλματι.* Liban. I, 340, 7.

τετραχόθεν. *ὅστις τετραχόθεν ἴσην οἰκῶν ἀγάλλεται τῇ μικρότητι φιλοτιμούμενος ἴστω.* Liban. I, 341, 18.

τέχνη. τέχνην δέχεσθαι heisst durch Kunst geschaffen werden. *τὰ παλαιὰ μὲν ὡς νεουργὰ φερόμενοι, τὰ δ' ἄρτι δεξάμενα τὴν τέχνην ἐν τῇ δόξῃ τῶν ἀρχαίων ἀφέντες.* Liban. I, 307, 15.

τῇ auch in späterer Prosa. *μήπω γ', ἔφη, τῇ,* (Reiske *τῇ*) *μακάριόν με καλεῖν.* Liban. I, 243, 23.

τίθημι. Eigenthümlich und vielleicht nach VI. dd. einzufügen erscheint *τ.* in der Bedeutung „ich bezeuge" zwei Mal bei Charit. in einem Gebete. *τίθημι καὶ τὸν δεύτερον γάμον ἔτι μοι τούτων βαρύτερον.* 3, 8, 9. *τίθημι, ὅτι ἐγεννήθημεν ἡμεῖς ἀτυχέστατοι πάντων.* 3, 10, 8.

τιμᾶν 4) *τὸ ἀληθὲς τιμᾶν*, ganz wie unser: der Wahrheit die Ehre geben. Liban. I, 37, 10.

τιμὴ καὶ ἐπωνυμία, Dio Chrys. 2, 76, wie nomen et honor im Latein, z. B. Cic. pro r. Dej. 5, 14. Tac. Germ. 6.

* *τληπόλεμος, ον*, kriegsmuthig. *καλλινίκους τέ τινας καὶ τληπολέμους.* Liban. I, 11, 5.

τοιούτως auch bei Pseudodio Chrys. 37, 37.

τόλμημα auch so viel als *τολμηρία. τοιαύτη μὲν ἐν τοῖς ἐπείγουσι τῶν κινδύνων ἡ πόλις σώζουσα τὰ τολμήματα τῶν προγόνων ἐν τῇ φύσει.* Liban. I, 325, 16.

τραγῳδιοποιός. Diese Form auch bei Dio Chrys. 11, 136, aber nicht in allen Handschriften.

τύχη. αἱ ἀμφότεραι τύχαι, Glück und Unglück. Liban. I, 357, 17.

ὕπειξις πρός τινα. πρὸς τοὺς ὑπερέχοντας ὑ. Liban. I, 322, 19.

ὑπεραιωρέω. Zum act. vergl. noch *ὑπὸ δένδρων παντοίας ὑπεραιωρούντων χάριτας.* Liban. I, 39, 6.

ὑπερείδω. ὑπερήρεισμαι steht auch bei Dio Chrys. 40, 9.

ὑπεροψωνέω ist zu streichen und dafür *ὑποψωνέω* zu lesen, wie Cob. var. lect. 138 zeigt. Aus dem dort gesagten erhellt, warum auch

ὑπερωνέομαι durch *ὑπωνέομαι* zu ersetzen ist. Und wirklich zeugt die angeführte Stelle des Themistius nicht einmal für jenes Wort, da die Mailänder Handschrift, die beste, *ὑπνωνεῖσθαι* bietet.

ὑπέχω auch für *ὑπέχειν ἑαυτόν*, sich jemand hingeben. *ταύρων ἀεὶ πρὸς τόνδε τὸν βωμὸν ἀγωμένων, ὡς ἑκόντας ὑπέχειν τοῖς καταρχομένοις.* Dio Chrys. 12, 51.

ὑποδείκνυμι mit dem infin. auch Aristaen. ep. 2, 1 p. 129: *τὰς ἑταίρας ὑποδείκνυσι ἀεὶ ποθεῖν τοῖς ἐρασταῖς.*

ὑποπόδιον = κρούπεζα, das Tactbrett der Flötenspieler. Schol. Aeschin. c. Tim. p. 126: *καὶ νῦν δὲ οἱ αὐληταὶ ὑποπόδιον διπλοῦν ὑπὸ τὸν δεξιὸν πόδα ἔχοντες, ὅταν αὐλῶσι, κατακρούουσιν ἅμα τῷ ποδὶ τὸ ὑποπόδιον.*

ὕπουλος 2). Vergl. noch *ἀντὶ τοῦ προσφιλοῦς μειδιάματος ταπεινὸν ἐσεσήρει καὶ ὕπουλον.* Dio Chrys. 1, 79.

ὑπουργός. Das adv. schreibt Boiss. *ὑπουργῶς* und bemerkt: editiones *ὑπούργως.* nihil memini e codice notari.

ὕστατος. *γῆρας ὕστατον.* Dio Chrys. 2, 74.

ὕφυδρος. subst. *ὁ ὑ.*, der Taucher. *διήνεγκεν οὐδὲν ὑφύδρου.* Liban. I, 389, 2.

φαίνω. Das pass. steht eigenthümlich dem *ἀπόλλυσθαι* entgegengesetzt bei Dio Chrys. *φαινομένης τε καὶ ἀπολλυμένης τῆς ἄγρας*, wenn die Jagd sich gut oder schlecht anlässt, 4, 127. *νῦν δὲ οἱ μὲν ἀπόλλυνται παραχρῆμα· ὅσοι δὲ καὶ φανοῦσι, κρύφα ἐν δούλου σχήματι μένουσι.* 7, 148.

φάρμακον. Wie *φ. εἴς τι* auch *φ. πρός τι.* *φάρμακον τοῦτο ἡδονῆς ἐστι πρὸς τὴν ἀκοήν.* Dio Chrys. 11, 42.

φείδομαι. Das perf. mit der Bedeutung des praes. bei Luc. de salt. 76: *ἐπί του παχέος δὲ καὶ πιμελοῦς ὀρχηστοῦ πηδᾶν μεγάλα πειρωμένου, Δεόμεθα, ἔφησαν, πεφεῖσθαι τῆς θυμέλης.*

φέρω, hervorbringen. Dass pass. dieser Bedeutung scheint kaum gebraucht worden zu sein. Das einzige Beispiel, das ich bis jetzt habe finden können, giebt Liban. I, 231, 10: *ἄνθρωποι δὲ οὐκ ἂν ἦσαν ἐν ὠδῖσι διαφθειρομένων τῶν τε φερουσῶν ἅτε φέροιτο*, wo es allein durch den Gegensatz zum vorhergehenden act. hervorgerufen ist. — *φέρειν*, ertragen. *τὸν ἥλιον φ.*, die Sonnenhitze vertragen. *οὐ γὰρ εἰ τὸν ἥλιον φέρουσι, τοῦτο δεῖ σκοπεῖν.* Dio Chrys. 31, 152.

φθόγγος. Es fehlt die Bedeutung Saite, aus Dio Chrys. 3, 76: *ὥσπερ ἐν λύρᾳ φθόγγων ἁπτόμενος.* 10, 19: *ἀπορρηγνὺς τοὺς φθόγγους.* 17, 19: *εἰ πλεονεκτήσειε τῶν φθόγγων τις τῇ τάσει.*

φιλαοιδός. Der superlat. findet sich bei Dio Chrys. 32, 84 in den Versen eines ungenannten Dichters: *ἀνδρῶν κουφονόων, φιλαοιδοτάτων, ἀγερώχων.*

S. 2289 Col. 1 Z. 5 schreibe: Aristaen. 1, 1.

φιλοτιμία. Wie *φιλοτιμίαν ἔχειν* wird auch gesagt: *φ. φέρειν.* *κἀμοί τινα φέρειν φιλοτιμίαν τοῦτο λογίζομαι.* Alciph. 1, 29, vergl. auch 1, 35.

φιλότιμος. *τὸ φιλότιμον* auch soviel, wie *φιλοτίμημα*, Geschenk, bei Aristaen. 1, 10, p. 41: *τὴν μὲν ἅπασι τοῖς ἑαυτῆς φιλοτίμοις κεκόσμηκεν.*

φλύαρος als reines adj. auch bei Alciph. 3, 69: *τὴν φλυαρὸν γλῶτταν.*

φορά 2). Wie mit *πρός*, *ἐπί* etc. verbunden, auch mit dem genet. *τοῦτο ἀντεξῆγεν, ὡς ἡ μὲν εὐθηνοῖτο θεάτρων ἡδοναῖς, αὐτῇ δὲ φορᾷ παιδείας*, d. h. durch die Liebe zur Wissenschaft. Liban. I, 39, 2.

φρίσσειν. Zu den Verbindungen mit *τρέμειν*, *ῥιγοῦν*, *δεδοικέναι* füge noch *ἐξεστάναι* aus Dio Chrys. 32, 65.

Φρύγιος, auch zweier Endungen. *τιάρᾳ Φρυγίῳ στέφειν τὴν κεφαλήν.* Alciph. 3, 59. *τῆς Φρυγίου (ἁρμονίας) τὸ ἔνθεον.* Luc. Harm. 1.

φυγή. *φυγὴ ἀπό τινος*, Flucht vor etwas. *φ. ἀπὸ τῆς τῶν Ἑλλήνων φωνῆς* und *τὴν ἀπὸ τῆς ὁμιλίας τῆς ἐκείνου φυγήν.* Liban. I, 133, 15 und 139, 8.

φυλάττω. φυλάττομαι ἀπό τινος auch bei Dio Chrys. 6, 38: ἀπὸ μὲν γὰρ τοῦ πλήθους φυλάττεσθαι τοῖς δορυφόροις, ἀπὸ δὲ τῶν δορυφόρων εὐνούχοις.

φυσᾶν von den letzten Athemzügen eines erlegten Wildes. ἔλαφος ἔτι φυσῶν. Dio Chrys. 7, 3. — πεφυσημένος τῇ ψυχῇ, aufgeblasenen Sinnes. Dio Chrys. 30, 19.

χαίρω. Für den Unterschied von ἥδομαι dient ausser dem angeführten Plut. mor. 449 A. auch Dio Chrys. 36, 60: ὅτε δὴ καὶ ὁ δημιουργὸς αὐτοῦ καὶ πατὴρ ἰδὼν ἥσθη μὲν οὐδαμῶς· ταπεινὸν γὰρ ἐν ταπεινοῖς τοῦτο τὸ πάθος· ἐχάρη δὲ καὶ ἐτέρφθη διαφερόντως.

χαλκοτύπος figürl. ῥῆμα χαλκοτύπον ἢ σκυτοτόμον. Liban. I, 479, 7.

χείρ. Wie ἐν χερσὶ διαφθείρειν, im Handgemenge tödten, so ἐν χ. πίπτειν, im Handgemenge fallen. Liban. I, 452, 6. — Zu ὑπὸ τὴν χεῖρα ἐλθεῖν, unter die Hand kommen, stelle ὑπὸ χεῖρα λαβεῖν, in die Hand nehmen. Liban. I, 428, 7.

* *χιμαιρίς* = χίμαιρα 2). χιμαιρίδος ἁπαλῆς τεμάχη. Alciph. fr. 6, 10.

χράω. κέχρημαι bei Späteren oft in Präsensbedeutung, z. B. Alciph. 3, 47. 57. 58. 65.

χρέος. Wie χρέα λύειν und διαλύειν auch χρέα κατατιθέναι. ἐμὲ δὲ τὸ ἔγκλημα καταλαμβάνει σαφῶς, ὅτι δὴ χρέα πάντων ἐντιμότατα καταθεῖναι δέον εἰς τόδε ἐμέλλησα. Liban. I, 275, 13.

χρίω, vom Anstreichen des Hauses auch Dio Chrys. 48, 14: λαβὼν οἰκίαν οἰκοδόμος ὁρῶν πίπτουσαν ὁ δὲ τούτου μὲν ἀμελῶν, κονιῶν δὲ καὶ χρίων οἴοιτό τι ποιεῖν.

χρυσίον bedeutet im plur. 3) Goldsorten. ὁ δὲ χοῦς αὐτοῖς ἐστι χρυσίον καθαρώτατον πάντων χρυσίων καὶ στιλπνότατον. Dio Chrys. 35, 23.

ψάλλω. Zum pass. vergl. noch ψαλλόμεμος καὶ καταυλούμενος ἥδεται. Alciph. 3, 65.

ψῆγμα. μὴ κατὰ ψῆγμα τὸ χρυσίον φέρειν, ἀλλ' ἄθρουν, nicht körner- sondern haufenweise. Dio Chrys. 33, 23.

ψυχή, Klugheit, wie Soph. Ant. 707 auch bei Liban. I, 208, 12: τί δεῖ κατὰ τῆς ψυχῆς τὴν ἡλικίαν λαμβάνειν; d. h. warum soll man Alter und Klugheit für unverträglich mit einander halten?

ὠδίς. Zu ἐπέων ὠδῖνες vergl. noch βελτίω (τὰ γράμματα) ὄντα τῶν ἐμῶν, ἃ ταῖς ὠδῖσιν ὑπήκουε. Liban. I, 142, 9. Wozu Reiske: quae literae quamquam subito sine meditatione effusae tamen praestabant .... commentationibus meis multa ingenii contentione elimatis.

ὠθέω. κατησχυμμένος τὸ πρόσωπον ὠθῶν εἰς τὴν γῆν hat gesagt Joh. Chrys. bei Boisson. zu Aristaen. p. 454.

* *ὠθησμός* = ὠθισμός. Liban. I, 355, 8.

ὠνέω. Der Kaufpreis im dat. auch bei Liban. I, 388, 6: ἐωνεῖτο τῇ Ῥωμαίων γῇ τὸν φόνον, wiewohl die Stelle nicht ganz gesund scheint.

ὥρα. S. 2619 Col. 2 Z. 12 von unten. Die Stelle des Themist. steht 214, 21.

* *ὦς.*

A. Gasda.

Schulnachrichten

über das Gymnasium zu Oels von Ostern 1863 bis Ostern 1864.

Das Gymnasial-Curatorium.

1) Der Königliche Compatronats-Commissarius, Kammerdirector v. Keltsch, zugleich Vertreter des Herzoglichen Patronats. 2) Der Bürgermeister Mappes, Vertreter des Städtischen Patronats. 3) Der Hofprediger Hohenthal. 4) Der Director des Gymnasiums.

Das Lehrer-Collegium.

1) Der Director Dr. E. W. Silber, Ordinarius von Prima.
2) Der Prorector Dr. F. Bredow, Lehrer der Mathematik und Physik.
3) Der Conrector Dr. P. Böhmer.
4) Der 1ste College Oberlehrer Dr. K. E. Kämmerer, Ordinarius von Obertertia.
5) Der 2te College M. Rehm, Ordinarius von Untertertia.
6) Der 3te College Dr. B. K. E. Anton.
7) Der 4te College Oberlehrer W. Rabe, Ordinarius von Secunda.
8) Der 5te College Cantor W. E. Barth, Ordinarius von Sexta.
9) Der Königliche Collaborator Dr. A. Gasda, Ordinarius von Quarta.
10) Der Hülfslehrer K. Keller, Ordinarius von Quinta.
11) Der Pfarrer H. v. Schalscha-Ehrenfeld, katholischer Religionslehrer.

I. Absolvirte Lehrpensa.

1) Religionsunterricht.

Sexta: 3 St. Mit Quinta*). — **Quinta:** 3 St. Biblische Geschichten des Alten und Neuen Testaments, Erlernen der drei ersten Hauptstücke, der zugetheilten Lieder und der Sonntagsevangelien. Keller. — **Quarta:** 2 St. Das Leben JEsu nach Matth. und Luk., dann Erklärung des ersten Hauptstücks; Erlernen des vierten und fünften Hauptstücks und der der Classe zugewiesenen Lieder; das Kirchenjahr und die Evangelien. Keller. — **Untertertia:** 2 St. Bibellesung aus Gesetz, Psalter, Propheten und Apostelgeschichte, Erlernen der für die Classe bestimmten Lieder, Besprechung der Perikopen. Rehm. — **Obertertia:**

*) S. III, 1.